UNIVERSITY OF TORONTO
3 1761 00576762 9

SYLLOGE TACTICORUM GRAECORUM

CONSILIO RUDOLFI VÁRI ET AUXILIO

COLLEGII HISTORICORUM HUNGARICORUM ROMANI AB ACADEMIA LITTERARUM HUNGARICA PUBLICI IURIS FACTA.

VOLUMEN TERTIUM.

* * *

LEONIS IMPERATORIS

TACTICA.

AD LIBRORUM MSS. FIDEM EDIDIT, RECENSIONE CONSTANTINIANA AUXIT, FONTES ADIECIT, PRAEFATUS EST

R. VÁRI.

TOMI II. FASC. PRIOR.

(CONSTITUTIONES XII., XIII. ET CONSTITUTIONIS XIV. PARAGRAPHOS 1—38. CONTINENS.

PRETIUM 900 CORONAE.

BUDAPESTINI.

MCMXXII.

CORRIGENDA.

1. *Quod ad fontes adtinet:* (P. 76, 5) *ἐπεί* legendum pro *ἐπεὶ*   (77, 1) *πάντως*   (117, 1) *τὰ*   (126, 1) *ἐκείνη*

2. *In textu Leonis:* **3425** Formam *συγχέσεις*, quam indiciis palaeographicis nitens excogitavi, ut inusitatam delendam et pro ea cum codicibus *συγχέης* legendum censeo   **3453** *τὸν*   **3511** *Ἑν* corrigendum in *Ἓν*   **3513** pro puncto ponenda virgula   **3595** legendum *σού εἰσιν*   **3751** *τὸ*   **3827** *τοὺς*   **4021** *γὰρ*   **4370** *ἤγουν*   **4489** *κατὰ*   **4558** *Παραγγείλης*

3. *In adparatu critico Leonis:* (P. 59, 2) § 106 legendum pro § 107   (62, 1) inserendum ante *καθ᾿ἕκαστον* **4025**   (87, 3) pro § 105 leg. § 104   (117, 6) inserendum post **MW**: , *προπαραγγείλης* **A P$_1$ E**   (144, 4) inserendum post **MW**: ; cf. non solum vs. **111**, sed etiam vs. **4897**.

4. *In recensione Constantiniana:* **1410** legendum *ἔμπροσθεν*   **1482** item, deinde *ἔχων*

5. *In adparatu critico recensionis Constantinianae:* (P. 81, 1) delendum siglum || post *Praecc.*   (134, 2) legendum *πλῆθος*

LEONIS IMPERATORIS

TACTICA.

AD LIBRORUM MSS. FIDEM EDIDIT, RECENSIONE CONSTANTINIANA AUXIT, FONTES ADIECIT, PRAEFATUS EST

R. VÁRI.

TOMI II. FASC. PRIOR.

(CONSTITUTIONES XII., XIII. ET CONSTITUTIONIS XIV. PARAGRAPHOS 1—38. CONTINENS.)

BUDAPESTINI
MCMXXII.

FASCICULO POSTERIORE CUM FASCICULO PRIORE IN UNUM TOMUM IUNCTO HUNC TITULUM ABICIES!

LIBRARY
FEB 12 1970
UNIVERSITY OF TORONTO

U
101
L4
1917
t.2

Typis Regiae Universitatis Scientiarum Budapestinensis.

ΠΟΛΕΜΙΚΩΝ ΠΑΡΑΣΚΕΥΩΝ

διάταξις ιβʹ.

Περὶ προπαρασκευῆς πολέμου.

1. *Ὅτ᾽ ἂν μὲν οὖν καιρὸς πολέμου ἐλπίζηταί σοι, ὦ στρατηγέ, καὶ τὸν ἤδη προγυμνασθέντα στρατὸν ἐπισυνάξῃς, καλόν ἐστιν, ἵνα μὴ ἅπαντα ὁμοῦ εἰς μίαν τάττῃς παράταξιν καὶ μάλιστα πολὺν ὄντα καὶ ἱκανόν, καὶ διὰ τοῦ ἀκαίρου πλήθους συγχέσεις τὴν εὐταξίαν τῆς παρατάξεως, ὡς μὴ δύνασθαι διὰ τὸ μέγεθος καὶ πλῆθος καλῶς πείθεσθαι αὐτὴν πρὸς τὰ κελευόμενα, ἀλλὰ τὸν περισσὸν στρατὸν διαμέ|ρισον καὶ ποίησον* [p. 135. M.] *καὶ δευτέραν παράταξιν.*

3418—3419. In **W** in mge superiori; desunt in **P_1E** || **3422.** Inter *προγυμνασθέντα* et *στρατὸν* quattuor litterarum rasura in **W**; cf. rec. Const. || **3423.** *καλόν εστιν* **W**, *καλὸν ἐστὶν* **E** || **3424.** *τάττῃς* om. **P_1**, *εκτάττης* **W**, *παρατάξῃς* **A**, *παρατάξεις* **E** || **3425.** *εὐκαίρου* **P_1E** || *συγχέσεις*] cf. **3076**; *συγχέεις* **W**, *συγχέῃς* ceteri || **3426.** *μέγεθος καὶ* omm. **AP_1E.**

REC. CONST. ⟨*Περὶ τοῦ ὅπως ἁρμόζει προπαρασκευάζειν εἰς πόλεμον.*⟩

1. ||| *Ὅταν καιρὸν πολέμου ἐλπίζῃς καὶ ἐπισυνάξῃς τὸν προγυμνασθέντα ἀπάρτι* c. 1269 **Lami.** *στρατόν, ὦ στρατηγέ, καλόν ἐστιν, ἵνα μὴ ὅλον τὸ στράτευμα ἐν τῷ ἅμα ποιήσῃς μίαν παραταγήν, καὶ μάλιστα ἂν ἔστι πολύς. τὸ γὰρ ἄκαιρον πλῆθος ποιεῖ σύγχυσιν καὶ ἀταξίαν εἰς τὴν παραταγήν,* | *καὶ οὐ δύναται ἡ τοιαύτη παραταγὴ διὰ τὸ μέγεθος αὐτῆς καὶ τὸ* fol. 22v *πλῆθος τοῦ λαοῦ ὑπακούειν καλῶς πρὸς τὰ κελευόμενα, ἀλλὰ χώρισον τὸν περισσὸν στρατὸν καὶ ποίησον ἔτι δευτέραν παραταγήν.*

1207. Inscriptionem addidi || 1209. *ἐντωάμα* C.

FONTES. *Urbicii* Tact.-Strat. II. 1. *Περὶ τοῦ χρειώδη καὶ ἀναγκαίαν εἶναι τὴν εἰς πρώτην καὶ δευτέραν τάξιν τοῦ στρατοῦ διαίρεσιν.* 1. *Ἐν ταῖς δημοσίαις καβαλλαρικαῖς μάχαις ἀπεριέργως ἐν μιᾷ παρατάξει τὸν πάντα στρατὸν εἰς ὄψιν ἐκτάσσειν καὶ μηδὲν εἰς δευτέραν τύχην πρὸς διαφόρους ἐγχειρήσεις φυλάττειν ἀνδρὸς ἀπείρου καὶ προφανῶς κινδυνεύειν θέλοντος ἴδιόν ἐστιν. οὐδὲ γὰρ διὰ πλήθους σωμάτων καὶ ἀλόγου θρασύτητος, οὐδὲ ἐξ ἁπλουστέρας ἐγχειρήσεως, ὥς τινες τῶν ἰδιωτῶν δοξάζουσιν, οἱ πόλε-*

CONSTITUTIO XII.

2. *Ὅτ᾽ ἂν γὰρ δημοσία μέλλῃ καβαλλαρίων μάχη γίνεσθαι καὶ εἰς μίαν μόνην παραταγήν τις τὸν ὅλον στρατὸν κατ᾽ ὄψιν τῶν πολεμίων παρατάσσῃ καὶ μὴ ἀποβλέπῃ πρὸς ἐναντίαν τύχην, μηδὲ μελετᾷ καὶ ἄλλως ἐπιτηδεύειν κατὰ τῶν ἐχθρῶν ἤγουν καὶ δι᾽ ἑτέρας παρατάξεως, οὗτος, ὡς ἐμοὶ δοκεῖ, ἀνὴρ ἄπειρός ἐστιν καὶ προφανῶς εἰς κίνδυνον ἑαυτὸν ἐπιρρίπτει.*

3. *Καὶ γὰρ οὐχὶ τὸ πλῆθος τῶν σωμάτων, οὐδὲ ἡ ἄτακτος θρασύτης, οὐδὲ ἡ ἁπλῆ προσβολὴ τὸν πόλεμον κρίνουσιν ἢ κατορθοῦσιν, ὥς τινες τῶν ἀπείρων νομί-*

3430. *μάχη καβαλλαρίων μέλλῃ* **AP₁E** || **3431.** *γίνεσθαι* omm. **MW** || *τις* **MW**, omm. **AP₁E** || **3432.** *κατόψιν* **MW** || Pro *κ. ὄψ. τ. πολ. παρατ.* **AP₁E** *παρατάσσῃ κατὰ πρόσωπον* (*καταπρόσωπον* **A**) *τῶν πολεμίων* habent || **3433.** *μὴ δὲ* **MP₁**, *μηδε* **W** || *μελετᾶν* **AP₁E** || **3435.** *ἄπειρος ἐστὶν* **MW** || *ἐστι* **P₁E** || **3438.** *ἁπλὴ* **MWP₁E**; in **A** a. c. || **3439.** *ὥστινὲς* **W** || Cf. **122.** || **3439—3440.** *ὡς*

2. *ὅταν γὰρ μέλλῃ γενέσθαι δημόσιος πόλεμος καβαλλαρίων καὶ παρατάξῃ τις ὅλον τὸν στρατόν, ὅσον ἔχει, εἰς μίαν παραταγὴν κατὰ πρόσωπον τῶν πολεμίων καὶ οὐκ ἀποβλέπῃ καὶ πρὸς τὰ ἐναντία, οἷον, ἂν τραπῇ, ἂν δυστυχήσῃ, οὐδ᾽ ἐνμελετᾷ, ἵνα καὶ δι᾽ ἄλλης παραταγῆς ἐπιτηδεύηται κατὰ τῶν ἐχθρῶν, ἐγὼ δοκῶ, ὅτι ὁ τοιοῦτος ἀνὴρ ἄπειρός ἐστι καὶ φανερῶς ῥίπτει ἑαυτὸν εἰς κίνδυνον.*

3. *καὶ γὰρ οὐ τὸ πλῆθος τῶν ἀνδρῶν, οὐδὲ ἡ* ⟨*ἄτακτος*⟩ *θρασύτης, οὐδὲ ἡ ἁπλῆ συμβολὴ τοῦ πολέμου χωρίζουσι τὸ ποῖοι τρέπονται καὶ ποῖοι νικῶσιν, ὡς νομίζουσί τινες*

1216. *οὐδ᾽ ἐμμελετᾷ* ego, *οὐδὲν μελετᾷ* C || 1219. *ἡ ἄτακτος θρασύτης* ego, *καταθρασύτης* C, ubi *κατα* m. r. exaravit; videtur extitisse *καὶ ἡ* || 1220. *νομίζουσι τινὲς* C.

μοι κρίνονται, ἀλλὰ μετὰ θεὸν διὰ στρατηγίας καὶ τέχνης. στρατηγίας μὲν — τὸ καιροῖς καὶ τόποις καὶ αἰφνιδιάσμασι καὶ τρόποις διαφόροις πρὸς ἀπάτην τῶν ἐχθρῶν κεχρῆσθαι εἰς τὸ καὶ δημοσίων πολέμων χωρὶς δυνατὸν *εἶναι τῶν σπουδαζομένων ἐπιτυγχάνειν, ὅπερ ὡς ἀναγκαῖον καὶ σωτήριον τῆς τοῦ στρατηγοῦ συνέσεως καὶ ἀνδρίας γνώρισμα γίνεται, τέχνης δὲ — τὸ μετὰ τάξεως

CONSTITUTIO XII.

ζουσιν, ἀλλὰ μετὰ θεὸν διὰ τέχνης καὶ φρονημάτων στρατηγικῶν μετὰ τῆς προθυμίας τοῦ στρατοῦ κατορθοῦται ὁ πόλεμος.

4. Διὰ μὲν φρονημάτων καὶ τροπαίων, οἷον εἰς καιροὺς ἤγουν ἡμέρας ἢ νυκτὸς ἢ χειμῶνος ἢ εὐδίας, ἢ πάλιν εἰς τόπους ἤγουν δι' ἐγκρυμμάτων ἢ στενωμάτων καὶ δι' αἰφνιδιασμοῦ, ἢ διὰ πολλῶν ἄλλων καὶ διαφόρων τρόπων ἵνα ἀπατᾷς τοὺς ἐχθρούς, ὥστε || χωρὶς δημο- c. 808. σίου πολέμου κατορθῶσαι τὴν νίκην κατ' αὐτῶν. τοῦτο γάρ ἐστι καὶ σωτήριον, καὶ πάνυ ἀναγκαῖον, ἵνα διὰ τῆς σῆς συνέσεως καὶ φρονήσεως καὶ ἀνδρίας καὶ τέχνης νικᾷς τοὺς ἐχθρούς.

νομίζουσι τινὲς τῶν ἀπείρων **A P₁ E** || **3441.** μετὰ] καὶ **P₁ E** || **3444—3445.** Verba ἤγουν . . . τόπους om. **P₁** || **3446.** δι' om. **A** || **3447.** τόπων **MW** || **3450.** σῆς omm. **P₁ E**.

τῶν ἀπείρων, ἀλλὰ μετὰ θεὸν διὰ τέχνης καὶ φρονημάτων στρατηγικῶν, εἴπερ ἔστι, καὶ προθυμίᾳ τοῦ στρατοῦ κατορθοῦται ὁ πόλεμος.

4. διὰ μὲν φρονημάτων καὶ ἐπιτηδευμάτων τοῦ στρατηγοῦ, οἷον, ἂν ἐπιτηρήσῃ καιρὸν ἐπιτήδειον, ἡμέραν ἢ νύκτα ἢ χειμῶνα ἢ εὐδίαν, ἢ πάλιν τόπους εἰς ἐγκρύμματα ἢ στενώματα ἢ ἂν αἰφνιδιάσῃ τοὺς ἐχθροὺς ἢ ἂν ἄλλους ἐπινοήσῃ † τόπους καὶ ἀπατήσῃ τοὺς ἐχθροὺς πρὸς τὸ ποιῆσαι τὴν νίκην κατ' αὐτῶν χωρὶς δημοσίου πολέμου. τοῦτο γάρ ἐστι πολὺ ἀναγκαῖον καὶ μεγάλη σωτηρία, ἵνα διὰ τῆς σῆς συνέσεως, στρατηγέ, καὶ ἀνδρίας καὶ φρονήσεως καὶ τέχνης νικᾷς τοὺς ἐχθρούς.

1225. τόπους C; rectum auctor recensionis non cognovit || ἀπατήσῃ τοὺς ego, ἀπατήσηται C.

καὶ στρατηγίας ποικίλως τὸν στρατὸν ⟨διαμερίζειν⟩ καὶ ἀσφαλῶς τὰς τῶν πολέμων μάχας καὶ ἐγχειρήσεις ποιεῖσθαι καὶ μὴ μόνον φυλάττεσθαι τοὺς ἐκ τῶν ἐναντίων δόλους, ἀλλὰ καὶ ἐπιτηδεύειν κατ' αὐτῶν. διὸ καὶ οἱ ἀρχαῖοι τοῦτο παρατηρήσαντες εἰς δρούγγους

CONSTITUTIO XII.

5. Καὶ ταῦτα μὲν διὰ τῶν φρονημάτων καὶ τῶν στρατηγημάτων· διὰ δὲ τῆς ἐπιστήμης κατορθώσεις τὸν [p. 136. M.] πόλεμον, ἐὰν μετὰ τάξεως τῆς πρεπούσης διαμερίσῃς ἢ συνάψῃς τὸν στρατόν, ποικίλως καὶ ἀσφαλῶς, καὶ παρατάξῃς μετὰ εὐταξίας πολεμικῆς καὶ οὕτως τὰς τῶν πολέμων ἐγχειρήσεις ποιήσῃς.

6. Καὶ μὴ μόνον φυλάξῃς σεαυτὸν ἀπὸ τῶν δόλων καὶ τῶν ἐπιτηδευμάτων ἤγουν φρονημάτων τῶν ἐναντίων σου, ἀλλ' ἵνα μᾶλλον καὶ σὺ κατ' αὐτῶν ἐπιτηδεύῃς καὶ ἀντιστρατεύῃ.

7. Ὅθεν καὶ οἱ παλαιοὶ στρατηγοὶ τοῦτο παρετήρησαν ὡς χρήσιμον ἤγουν τὴν εὐταξίαν. καὶ διὰ τοῦτο εἰς τούρμας καὶ δρούγγους καὶ κόμητας καὶ κεντάρχους

3452. *τῶν* alterum om. A || 3456. *παρατάξεις* **MW** || 3457. *πολέμων* ego ex Urbicio: *πολεμίων* libri || *ποιήσεις* **MW**, *ποιεῖσθαι* **A** P_1 **E** || 3460. *καὶ* omm. **A** P_1 **E** || 3464. *κεντάρχας* P_1 **E**.

5. *ἀλλὰ ταῦτα μὲν διὰ τῶν φρονημάτων καὶ στρατηγημάτων· νικήσεις δ' ἂν πάλιν αὐτοὺς καὶ διὰ τῆς στρατηγικῆς ἐπιστήμης καὶ πείρας, εἰ μετὰ τάξεως, ὡς πρέπει, διαμερίσεις τὸν στρατὸν ἢ ἑνώσεις αὐτοὺς μετὰ ποικιλίας καὶ ἀσφαλείας καὶ παρατάξεις μετὰ εὐταξίας πολεμικῆς καὶ οὕτως ἐπιχειρήσεις ποιεῖν τὸν πόλεμον.*

6. *καὶ μὴ μόνον φύγῃς τοὺς δόλους καὶ τὰ ἐπιτηδεύματα τῶν ἐχθρῶν σου, ἀλλὰ καὶ μᾶλλον ἐπιτηδεύῃς καὶ σὺ κατ' αὐτῶν.*

7. *καὶ γὰρ καὶ οἱ παλαιοὶ στρατηγοὶ τοῦτο εἶπον χρήσιμον, τὴν εὐταξίαν. καὶ διὰ τοῦτο εἰς τούρμας καὶ εἰς δρούγγους καὶ εἰς κόμητας καὶ εἰς κεντάρχους καὶ εἰς*

ἤτοι μέρη καὶ μοίρας διαφόρους πρὸς τὴν χρείαν ἔτασσον, καθὼς νῦν Ἄβαρες καὶ Τοῦρκοι τάσσονται ἐκεῖνο τὸ σχῆμα αὐτοὶ φυλάττοντες καὶ συντόμως ἐντεῦθεν ἀνακαλούμενοι τὰς συμβαινούσας αὐτοῖς μερικὰς τροπὰς ἐν ταῖς μάχαις. οὐδὲ γὰρ ἐπὶ μιᾶς μόνης παρατάξεως ἐκτάσσονται, ὡς Ῥωμαῖοι καὶ Πέρσαι, ἐν μιᾷ ῥοπῇ τὴν κρίσιν τοσούτων μυριάδων καβαλλαρίων φέροντες, ἀλλὰ δευτέραν, ἔστιν ὅτε καὶ τρίτην — κατ᾽ οὐρὰν διῃρημένως τὰς τάξεις — ποιοῦσιν, ὅτ᾽ ἂν μάλιστα ἐν πλήθει τυγχάνουσιν καὶ πρὸς διαφόρους ἐπελεύσεις *ποικίλως ἐγχειροῦσιν. *τῷ γὰρ ἐπὶ μιᾶς τάξεως τὸν

CONSTITUTIO XII.

καὶ εἰς ἄλλα μέρη πρὸς τὴν χρείαν τὴν παροῦσαν τὸν ὅλον στρατὸν διαμερίσαντες οὕτως παρετάσσοντο.

8. Οὐ γὰρ πρέπον ἐστὶν εἰς μίαν μόνην παράταξιν ἐκτάσσειν τὸν στρατὸν καὶ ἐν μιᾷ μόνῃ ῥοπῇ κρίσιν καὶ διοίκησιν τοσούτων χιλιάδων καβαλλαρίων πιστεύειν, ἀλλὰ καὶ δευτέραν, πολλάκις καὶ τρίτην παράταξιν κατόπισθεν διαιρεῖν καὶ οὕτως τὰς τάξεις ποιεῖν, μάλιστα, ὅτ᾽ ἂν σοί ἐστιν, καθὼς εἴρηται, πλῆθος στρατιᾶς. καὶ γὰρ οὕτως ποιῶν, ὡς ἄν σοι δόξῃ καὶ ἀπαιτήσῃ ἡ χρεία, ποικίλως καὶ διαφόρως τὰς ἐγχειρήσεις ποιήσεις.

3466. *διαμερίσαντας* **M** || *παρατάσσονται* $\mathbf{P_1 E}$ || **3468.** *τὸν στρατὸν παρατάσσειν* $\mathbf{A P_1 E}$ || **3469.** *χιλιάδων* omm. $\mathbf{A P_1 E}$ || **3471.** *κατόπισθεν* $\mathbf{P_1 E}$ || **3472.** *ὅταν* **W** || *ἐστίν* **MW**, *ἐστὶ* **A**, *ἔστι* $\mathbf{P_1 E}$ || **3473.** *ἀπαιτήσει* $\mathbf{P_1}$.

ἄλλα μέρη πρὸς τὴν οὖσαν χρείαν ἐχώρισαν τὸν ὅλον στρατὸν καὶ οὕτω παρετάσσοντο.

8. οὐ γὰρ πρέπον ἐστὶν εἰς μίαν μόνην παραταγὴν ἵνα ποιήσῃς τὸν στρατὸν καὶ ἀπὸ ἑνὸς μόνου | πολέμου ἴσως ἵνα τραπῶσιν ἢ νικήσωσι τοσαῦται χιλιάδες καβαλλαρίων, ἀλλὰ fol. 23r καὶ δευτέραν πολλάκις καὶ τρίτην κατόπισθεν παραταγὴν ἵνα ποιῇς, κατεξαίρετον, ὅταν ἔχῃς πλῆθος στρατοῦ. καὶ γάρ, ἂν παρατάσσῃς οὕτως, ποιήσεις καὶ τὰς συμβολὰς τοῦ πολέμου κατὰ ἄλλον καὶ ἄλλον τρόπον καὶ ὡς βλέπεις, ὅτι ἀπαιτεῖ ἡ χρεία.

πάντα στρατὸν γίνεσθαι — καὶ κατεξαίρετον κοντάτους — λογιζόμεθα πολλὰ ἐναντία ἐπακολουθεῖν· συμβαίνει γὰρ — πλήθους στρατοῦ ὄντος καὶ τούτου ἐπὶ πολὺ διάστημα ἐξ ἀνάγκης ἐκτεινομένου καὶ ἀνωμάλων τόπων ὑποπιπτόντων — ἄνισον καὶ ἀπειθῆ εὑρίσκεσθαι ὡς μακρὰν ⟨οὖσαν⟩ τὴν τάξιν καὶ ἀσύμφωνα τὰ μέρη αὐτῆς γίνεσθαι, καὶ ἐντεῦθεν εὐδιάλυτον πρὸ τῆς συμβολῆς καθίσ-

CONSTITUTIO XII.

9. *Πολλὰ γὰρ ἐναντία λογιζόμεθα γίνεσθαι, ὅτ' ἂν εἰς μίαν παράταξιν τὸν ὅλον στρατόν τις συναγάγῃ καὶ κατεξαίρετον τοὺς κοντάρια ἔχοντας· συμβαίνει γὰρ — πλήθους ὄντος στρατοῦ καὶ ⟨τούτου⟩ εἰς πολὺ διάστημα ἐξ ἀνάγκης ἐκτεινομένου, εἶτα καὶ ἀνωμάλων τόπων ὑποπιπτόντων — ἄνισον εὑρίσκεσθαι καὶ ἀπειθῆ τὴν παράταξιν ὡς μακρὰν οὖσαν καὶ μὴ συμφωνεῖν ἀλλήλοις τὰ μέρη αὐτῆς, καὶ διὰ τοῦτο καὶ πρὸ τῆς συμβολῆς διὰ τὴν ἀταξίαν εὐδιάλυτον αὐτὴν καὶ πεφυρμένην γίνεσθαι.*

3475. *πολλάκις* **P$_1$** || **3477.** *τὰ κοντάρια* **AP$_1$E** || **3478.** *πλήθους* **W**, *πλῆθος* **AP$_1$E** || *τούτου* inserendum censui ex Urbicio propter rec.-is Const.-ae *τοιαύτη* || **3479.** *ἐκτεινομένους* **MW** || Verbo *εἶτα* § distinguitur in **codd.** || *ἀνώμαλον* **E** || **3483.** *διὰ τὴν ἀταξίαν*] **P$_1$** *καὶ διαταξίαν*, **E** *καὶ διὰ ἀταξίαν* habet.

9. *πολλὰ γὰρ ὑπολαμβάνομεν ἐναντία γίνεσθαι, ὅτε εἰς μίαν παραταγὴν τὸν ὅλον στρατόν τις ποιήσει, κατεξαίρετον τοὺς ἔχοντας κοντάρια. συμβαίνει γάρ, ὅτέ ἐστι πλῆθος στρατοῦ εἰς μίαν παραταγήν, ἵνα ὑπάγῃ εἰς πολὺ μῆκος ἐξ ἀνάγκης ἡ τοιαύτη παραταγή, εἶτα εὑρίσκονται τόποι δύσκολοι καὶ οὐ δύνανται ὑπακούειν πρὸς τὰ κελευόμενα παρὰ τοῦ στρατηγοῦ διὰ τὸ εἶναι μακρά, μὴ δὲ ἰσάζειν πρὸς ἄλληλα τὰ μέρη αὐτῶν. διὰ τοῦτο καὶ πρὸ τῆς συμβολῆς τοῦ πολέμου ἐστὶν εὐκολοπαράλυτος διὰ τὸ εἶναι ἄτακτος καὶ πεφυρμένη.*

1245. *ὅτι ἐστὶ* C || 1248. *μηδὲ* C.

*τασθαι. εἶτα ὑπερκεράσεως ἢ *ἐπεξελεύσεως αἰφνιδίως ὑπὸ ἐχθρῶν, ὡς εἰκός, ἐπιγινομένης αὕτη διὰ τοῦ νώτου ἢ τῶν πλαγίων ἀποροῦσα βοηθείας καὶ μηδενὸς ὄντος τοῦ δηφενδεύοντος αὐτὴν ἢ ἐπιβοηθεῖν δυναμένου ἀνάγκη αὐτὴν πρὸς φυγὴν τελείαν χωρεῖν.*

2. *Πρὸς τούτοις καὶ ἐν αὐταῖς ταῖς συμβολαῖς οὐδενὸς κατὰ λόγον ἐποπτεύοντος τὴν πᾶσαν μάχην ὡς ἐπὶ πολὺ ἐκτεινομένης τῆς παρατάξεως ἐκγίνεταί τισι τῶν βάνδων ἀφανῶς λιποτακτεῖν καὶ*

CONSTITUTIO XII.

10. *Εἶτα, ἐάν ποτε συμβῇ τοῖς πολεμίοις ἢ ὑπερεκτασθῆναι κατὰ τὸ πλάγιον ἤγουν ἐπὶ κέρας ἐπεξελθεῖν πρὸς κύκλωσιν αἰφνιδίως, λοι|πὸν ἡ παράταξις διά τε* [p. 137. M.] *τῶν ὀπίσω καὶ τῶν πλαγίων ἀποροῦσα βοηθείας καὶ μηδενὸς ὑπάρχοντος τοῦ συνηγοροῦντος αὐτὴν ἐξ ἀνάγκης πρὸς τελείαν φυγὴν ὁρμήσει.*

11. *Ἀλλὰ καὶ ἐν αὐτῇ τῇ τοῦ πολέμου συμβολῇ διὰ τὸ μὴ τὸ μῆκος τῆς παρατάξεως ἐπιβλέπειν τινὰ ἐκ τῶν ὄπισθεν πολλάκις τινὲς τῶν ταγμάτων μετὰ καὶ τῶν βάνδων ἀφανῶς λιποτακτοῦσι· καὶ γίνεται καὶ πᾶσι*

3485. *τοὺς πολεμίους* **AP$_1$E** || **3489.** *συνεργοῦντος* **AP$_1$E** || *αὐτῇ* **A** || Verba in **P$_1$E** inde ab *αὐτὴν* usque ad **3491.** *ἐν* desiderantur || **3492—3493.** Verbo *ἐπιβλέπειν* **AP$_1$E** addunt *τινὰ ἐκ τῶν ὄπισθεν,* quae retinui || **3493.** *καὶ* omm. **AP$_1$E** || **3494.** *λιποτακτοῦσιν* **WAE.**

10. *εἰ δὲ καὶ οἱ πολέμιοί ἁπλώσουσιν εἰς τὸ πλάγιον* ||| *τῆς παραταγῆς αὐτῶν πρὸς* c. 1272 **Lami.** *τὸ κυκλῶσαι τὴν ἡμετέραν παραταγὴν καὶ οὐκ ἔχει αὕτη βοήθειαν ἐκ τῶν ὀπίσω καὶ ἐκ τῶν πλαγίων, ἐξ ἀνάγκης φεύγει ἐξαίφνης.*

11. *ἀλλὰ καὶ εἰς τὴν αὐτὴν τὴν συμβολὴν τοῦ πολέμου, ὅταν ὑπάρχῃ μεγάλη ἡ παραταγὴ διὰ τὸ μὴ δύνασθαι ἐπιβλέπειν αὐτήν τινα ἐκ τῶν ὀπίσω, πολλάκις τινὲς τῶν ταγμάτων μετὰ καὶ τῶν βάνδων κρύφα στρέφονται· καὶ θεωροῦσιν αὐτοὺς καὶ οἱ λοιποί,*

γίνεται πρόφασιν ἀναχωρήσεως τοῖς λοιποῖς πᾶσι, τρεπομένων δὲ αὐτῶν οὐδεμία ὑποστροφὴ ἢ ἀνακοπὴ τῆς φυγῆς γίνεται οὐδενὸς φαινομένου τοῦ ἀνακαλέσασθαι αὐτοὺς ὀφείλοντος πάντων, ὡς εἴρηται, ἐν τροπῇ γινομένων. ὅτε δὲ δόξουσι καὶ ἐπιτυχῶς πράττειν οἱ ἐν μιᾷ παρατάξει τασσόμενοι καὶ ὠθεῖν ἐν τῇ μάχῃ τοὺς ἐναντίους, διαλυομένης πάντως τῆς τάξεως ἐν τῇ συμβολῇ καὶ ἀτάκτως τὴν δίωξιν τῶν ἐν αὐτῇ ποιουμένων, εἰ συμβῇ — ὡς ἔστιν ἔθος τοῖς Σκύθαις — φεύγοντας ἀντιστραφῆναι κατὰ τῶν ἐπιτιθεμένων

CONSTITUTIO XII.

τοῖς λοιποῖς ἀναχωρήσεως πρόφασις καὶ πρᾶγμα ἐλεεινόν, τρεπομένων ⟨δὲ⟩ αὐτῶν οὐδὲ ἀνακοπὴ τῆς φυγῆς, οὐδὲ ὑποστροφὴ οὐδεμία γίνεται. οὐδεὶς γὰρ ἀναφαίνεται ὁ μέλλων ἀνακαλεῖσθαι ἢ ἐπισυνάγειν αὐτοὺς εἰς τροπήν, ὡς εἴρηται, καὶ φυγὴν ὁρμήσαντας.

c. 809. 12. Ἐὰν δὲ τάχα καὶ νομίσωσι μετὰ ἐπιτυχίας ‖ τὸν πόλεμον ποιεῖν οἱ εἰς μίαν παράταξιν τασσόμενοι καὶ παρωθεῖν ἐν τῇ μάχῃ τοὺς πολεμίους, ὅτ᾽ ἂν διαλυθῇ πάντως ἡ παράταξις ἐν τῇ συμβολῇ τοῦ πολέμου καὶ ποιοῦσι τὴν δίωξιν ἀτάκτως οἱ διώκοντες, ἐὰν συμβῇ πολλάκις τοὺς φεύγοντας ἀντιστραφῆναι κατὰ τῶν διω-

3495. πράγμα **W E**; in **A** a. c. || 3496. δὲ inserui || ἀνακοπῇ **E** || 3497. ὑποστροφῇ **P₁ E** || οὐδὲ μία **M P₁ E** || 3499. ὁρμίσαντας **P₁ E** || 3500. καὶ om. **P₁** || νομίσουσιν **M W** || 3502. παρωθεῖν ego, προωθεῖν codd. || 3504. ποιῶσι **A P₁ E**.

καὶ ἀναχωροῦσι. καὶ γίνεται δὲ πρᾶγμα ἐλεεινόν. στρέφουσι γὰρ ἐκεῖνοι καὶ φεύγουσι καὶ οὐδεμία γίνεται ἀνακοπὴ τῆς φυγῆς αὐτῶν, οὐδὲ εὑρίσκεταί τις εἰς τὸν καιρὸν ἐκεῖνον ὁ μέλλων ἐπισυνάγειν καὶ ἀνακαλεῖσθαι αὐτούς.

12. κἂν τάχα δὲ καὶ νομίσωσιν, ὅτι νικῶσιν οἱ ὄντες εἰς μίαν παραταγὴν καὶ ὡς ἔτι συνεστήκοι ὁ πόλεμος, ἐπίκεινται τοῖς ἐχθροῖς καὶ ἀπάρτι τρέπουσιν αὐτοὺς πάντως, καὶ ὅταν γένηται ἡ τροπὴ καὶ παρακολουθεῖ καὶ διώκει ἡ παραταγὴ ἀτάκτως, ἂν συμβῇ ἀντιστραφῆναι τοὺς φεύγοντας κατὰ τῶν διωκόντων αὐτοὺς ἢ ἄλλην δύναμιν ἀπὸ ἐγκρύμ-

1257. -ται τι; C.

αὐτοῖς ἢ ἄλλην ἄφνω δύναμιν ἐξ ἐνέδρας ἐπιφανῆναι, ἀνάγκη πᾶσα εἰς φυγὴν τοὺς διώκοντας χωρεῖν μηδενὸς ὄντος, ὡς εἴρηται, τοῦ ἀποσοβοῦντος τοὺς ἐπερχομένους ἀπροσδοκήτως. δοκεῖ δὲ ἕν τι ἔχειν προτέρημα τὸ πάντας ἐν μιᾷ παρατάξει τάσσεσθαι, ὅπερ καὶ αὐτὸ μέχρι θεωρίας (καὶ μόνης) ἔχει τὸ κέρδος, τοῦτ᾽ ἔστι τὸ τοῖς ἐχθροῖς τελείαν καὶ κομπὴν τὴν τοιαύτην τάξιν φαίνεσθαι μήκοθεν

CONSTITUTIO XII.

κόντων αὐτοὺς ἢ δύναμιν ἄλλην αἰφνιδίως ἀπὸ ἐγκρύμματος ἀναφανῆναι, ἀνάγκη πᾶσα, οἱ διώκοντες εἰς φυγὴν ὁρμήσωσι μηδένα ἔχοντες, ὡς εἴρηται, τὸν δυνάμενον ἀπαντῆσαι ἢ ἀποσοβῆσαι τοὺς διὰ τῆς ὑποστροφῆς ἀπροσδοκήτως ἐπερχομένους.

13. *Ἓν δὲ μόνον νομίζω προτέρημα ἔχειν τὸ πάντας εἰς μίαν τάσσεσθαι παράταξιν, τοῦτ᾽ ἔστι τὸ φαίνεσθαι τοῖς ἐχθροῖς μήκοθεν τελείαν καὶ ἐξωγκωμένην τὴν τάξιν. ἀλλὰ καὶ αὐτὸ μέχρι θεωρίας (καὶ μόνης) ἔχει τὸ κέρδος.*

3507. *πᾶσα*] *πάντας* **A**, *πάντως* **P_1E** || *οἱ διώκοντες*] *ἀνδιώκοντες* **M**, *τοὺς διώκοντας* **AP_1E** || **3508.** *ὁρμήσωσι* ego, *ὁρμήσουσι* **M**, *ὁρμήσουσιν* **W**, *ὁρμῆσαι* **AP_1E** || *ἔχοντας* **AP_1E** || **3509.** *ἀποσοβῆσαι*] *ἀποδιῶξαι* (*-ώξαι* **P_1E**) **AP_1E** || **3510.** *ἐπερχομένους*] **P_1E** addunt *πολεμίους* || **3512.** *τοῦτ᾽ἔστι* **M**, *τοῦτέστι* **E**, *τουτέστιν* **WA**, *τουτέστι* **P_1** || **3513.** *καὶ* omm. **MW** et **Meursii cod. tert.** || *ἐξογκωμένην* **W** || **3514.** *αὐτὸ τὸ μέχρι* **P_1E** || *καὶ* secundum omm. **AP_1E** || *μόνης* iteratur in **E** || *ἔχειν* **P_1E**.

ματος αἰφνιδίως φανῆναι, ἀνάγκη πᾶσά ἐστιν, ἵνα οἱ διώκοντες φύγωσι διὰ τὸ μὴ ἔχειν τινά, ὡς εἴρηται, ὀπίσω εἰς βοήθειαν.

13. *ἓν μόνον ἀγαθὸν νομίζω ἔχειν τὸ παρατάσσεσθαι πάντας εἰς μίαν παραταγήν, ὅτι φαίνεται ἀπὸ μακρόθεν τοῖς ἐχθροῖς μεγάλη καὶ ἔξογκος ἡ παραταγή, ἀλλὰ | καὶ* fol. 23v
αὐτὸ μέχρι [τῆς] θεωρίας ἔχει τὸ κέρδος.

1263. *πᾶσα ἐστὶν* **C** || **1266.** *ἔξογκος* v, *ἔξογγος* **C** || **1267.** *τῆς* seclusi.

καὶ ἐπιτηδείαν μὲν τοῖς ἁρμοδίως κεχρημένοις πρὸς ὑπερκέρασιν, ἅτινα δυνατὸν μεθοδεύεσθαι εὐκόλως διὰ τῶν λεχθησομένων τρόπων. εἰς δὲ τὸ διπλᾶς τὰς τάξεις γίνεσθαι κατὰ τὴν δηλωθησομένην καταγραφὴν καὶ ὑποβοήθειαν εἶναι κατὰ τὸν ἀνθρώπινον λογισμὸν πολλὰ τὰ ἐξαίρετα καὶ ἀναγκαῖα νομίζομεν συντρέχειν, πρῶτον μέν, ὅτι οἱ τῆς πρώτης τάξεως προθυμοτέρως μάχονται ὡς τοῦ

CONSTITUTIO XII.

[p. 188. M.] | 14. Ἔχει δὲ τάχα καὶ ἕτερον προτέρημα, τὸ δύνασθαι διὰ τῆς μιᾶς παρατάξεως καὶ μεγάλης ποιεῖν κύκλωσιν ἀπὸ ἑνὸς μέρους καὶ ἀποκλείειν τοὺς πολεμίους, ἐὰν ἄρα καὶ τούτῳ μετὰ τοῦ πρέποντος λόγου καὶ τέχνης τις χρήσηται.

15. Τὸ δὲ διπλᾶς ποιεῖν τὰς παρατάξεις, ὥστε εἶναι εἰς ὑποβοήθειαν τῆς πρώτης παρατάξεως τὴν δευτέραν, κατὰ τὸν ἀνθρώπινον λογισμὸν πολλὰ τὰ ἐξαίρετα καὶ ἀναγκαῖα νομίζομεν συντρέχειν. καὶ πρῶτον μέν, ὅτι οἱ τῆς πρώτης παρατάξεως ἔχοντες ὄπισθεν κατὰ τοῦ

3518. *ἄρα* **MW** || **3518—3519.** *καὶ τῆς τέχνης·* **AP$_1$E** || **3519.** *τίς* **M** || *διαπράξηται* **AP$_1$E** || **3520.** *διπλὰς* **WP$_1$E** || **3522—3523.** Pro *πολλὰ . . . . . συντρέχειν* **AP$_1$E** *κατὰ πολλά ἐστιν* (*εστιν* **P$_1$**) *ὠφελιμώτερον* (*ὠφελιμότερον* **E**) habent || **3524—3525.** *καὶ κατὰ νώτου* **AP$_1$E**.

14. ἔχει δὲ καὶ ἄλλο καλὸν ἡ μία καὶ μεγάλη παραταγή, τὸ ποιεῖν κύκλωσιν ἀπὸ τοῦ ἑνὸς μέρους καὶ ἀποκλείειν τοὺς πολεμίους, ἂν ἄρα ποιήσῃ τις αὐτὸ ὡς πρέπει καὶ μετὰ τέχνης.

15. τὸ δὲ ποιεῖν διπλᾶς τὰς παραταγὰς πρὸς τὸ εἶναι εἰς ὑποβοήθειαν αὐτῆς πρώτης παραταγῆς τὴν δευτέραν πολλὰ ποιεῖ ἔχειν τὰ ἐξαίρετα καὶ ἀναγκαῖα τέως, ὅσον ⟨αὐτὸ⟩ κατὰ ἀνθρώπινον λογισμόν· πρῶτον μέν, ὅτι οἱ ὄντες εἰς τὴν πρώτην παραταγήν,

1268. καλὸν v, κακὸν C || 1269. τί; C || 1271. διπλᾶς C || 1273. αὐτὸ inserui || κατὰ ego, αὐτὰ C.

γώτου αὐτῶν ὑπὸ τῆς δευτέρας τάξεως φυλαττομένου, ὁμοίως δὲ καὶ τῶν ἄκρων αὐτῆς διὰ τῶν πλαγιοφυλάκων, — εἶτα δὲ καὶ ὡς πολλῶν, τοῦτ᾽ ἔστι τῶν τῆς δευτέρας τάξεως, ὄπισθεν ἐκτεταγμένων καὶ ἐποπτευόντων τούς, ὡς εἰκός, λιποτακτοῦντας μὴ τρέπεσθαί τινα τῶν τῆς πρώτης τάξεως, ὡς ἔτυχεν, ὅπερ μεγάλην ῥοπὴν ὠφελείας συνεισάγει τῷ πράγματι· καὶ ἐν καιρῷ δέ, ὡς εἰκός, τροπῆς ἤτοι

CONSTITUTIO XII.

γώτου αὐτῶν τὴν δευτέραν τάξιν φυλάττουσαν αὐτοὺς προθυμοτέρως μάχονται πρὸς τοὺς πολεμίους, ὁμοίως δὲ καὶ τὰ ἄκρα ἤγουν τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ τῆς παρατάξεως διὰ τῶν πλαγιοφυλάκων φυλαττόμενα ἀφόβως πρὸς τοὺς ἔμπροσθεν πολεμοῦσι. τὸ δὲ πλέον προτέρημα, ὅτι τῆς δευτέρας παρατάξεως ὄπισθεν οὔσης οἱ πολλάκις λιποτακτοῦντες ἐν τῇ πρώτῃ παρατάξει οὐ τρέπονται, ὡς ἔτυχεν, ὑπὸ τῶν ὄπισθεν αὐτῶν ἐποπτευόμενοι· τοῦτο γὰρ καὶ μεγάλην ὠφέλειαν ποιεῖ τῇ μάχῃ.

16. Καὶ ἐν καιρῷ δὲ τροπῆς, ὡς πολλάκις συμβαίνει

3526. *προθυμότέρως* in **W** factum ex *προθυμωτέρως* || **3527.** *τὰ* tertium omm. **P₁E** || **3529.** *πολεμῶσι* **P₁E** || *πλέον προτέρημα*] *μεῖζον* **AP₁E** || **3532—3533.** *ἐποπτευόμενοι* ego, *ὑποπτευόμενοι* **MW**, *ἐπιβλεπόμενοι* **AP₁E** || **3533.** *τοῦτο*] *ὅπερ* **AP₁E** || *γὰρ* omm. **AE** || *ἐν τῇ μάχῃ ποιεῖ* **AP₁E** || **3534.** *Καὶ* omm. **AP₁E.**

ἔχοντες ὄπισθεν αὐτῶν τὴν δευτέραν φυλάττουσαν αὐτούς, μετὰ περισσοτέρας προθυμίας πολεμοῦσι, ὁμοίως δὲ καὶ τὰ ἄκρα οἷον τὰ δεξιὰ καὶ ἀριστερὰ τῆς παρατάξεως φυλαττόμενα διὰ τῶν πλαγιοφυλάκων πολεμοῦσιν ἀφόβως πρὸς τοὺς ἔμπροσθεν. τὸ δὲ πλέον, ὅτι τῆς δευτέρας παραταγῆς ὀπίσω οὔσης οἱ θέλοντες φυγεῖν πολλάκις ἀπὸ τῆς πρώτης παραταγῆς οὐ τρέπονται, ὡς ἔτυχε, φοβούμενοι τοὺς ὀπίσω. τοῦτο γὰρ καὶ ὠφέλειαν μεγάλην ποιεῖ εἰς τὸν πόλεμον.

16. *ἀλλὰ καὶ ὅταν τραπῇ κατὰ σύμβαμα ἡ πρώτη παραταγή, καταφεύγει*

ὠθήσεως συμβαινούσης τῇ πρώτῃ τάξει ἔχειν τὴν δευτέραν τάξιν εἰς ἀντίληψιν καὶ καταφυγήν, δι᾽ ἧς πάλιν δυνατὸν ἀνακαλεῖσθαι αὐτοὺς καὶ κατὰ τῶν ἐπικειμένων ἀντιστρέφεσθαι, καὶ ἐν ταῖς διώξεσί τε, ταῖς κατὰ τῶν ἐχθρῶν, ἀσφαλῶς τὴν ἐπέλευσιν ποιεῖσθαι. εἰ γὰρ καὶ ἀντιστροφὴ ἐκ τῶν φευγόντων ἢ ἑτέρα ἐπέλευσις ἄφνω γένηται, ἔστιν ἡ δευτέρα ἀντέχουσα καὶ συνάγουσα καὶ φυλάττουσα

CONSTITUTIO XII.

τῇ πρώτῃ τάξει, γίνεται ἡ δευτέρα εἰς ἀντίληψιν καὶ καταφυγήν, ὅθεν πάλιν δυνατὸν αὐτοὺς ἀνακαλεῖσθαι βοηθουμένους ὑπὸ τῆς δευτέρας τάξεως καὶ κατὰ τῶν ἐπιπεσόντων ἐχθρῶν πάλιν ἀντιστρέφεσθαι.

17. Ἀλλὰ καί, ὅτ᾽ ἂν διώκωσι τοὺς ἐχθρούς, οἱ τῆς πρώτης παρατάξεως ἀσφαλῶς καὶ μετὰ προθυμίας ποιοῦνται τὴν δίωξιν. [p. 139. M.] ἐὰν γὰρ ἀντιστραφῶσιν, ὡς πολλάκις γίνεται, φεύγοντες οἱ ἐχθροὶ ἢ ἄλλοθέν ποθεν αἰφνιδίως ἐπέλθωσιν ἐχθροί, γίνεται ἡ δευτέρα τάξις ἀπαντῶσα καὶ συνάγουσα καὶ φυλάττουσα τοὺς τῆς πρώτης παρατάξεως.

3535. τ. πρ. τ.] τῇ παρατάξει **P_1**, τῇ τάξει **E** || δευτέρα] β̄ **P_1E**; additur τάξις in **AP_1E** || 3537. β̄ **P_1E** || 3539. διώκουσιν (ω supra ου) **W** || 3541. ἀντιστραφῶσι **A** || 3542. ἄλλοθεν ποθὲν **MWP_1E** || 3543. ἐχθροί omm. **AP_1E** || γίνεται] εὑρίσκεται **AP_1E** || παράταξις **AE**, παράταξης **P_1**.

εἰς τὴν δευτέραν καὶ ἐνδυναμοῦται παρ᾽ αὐτῆς καὶ ἀντιστρέφει πάλιν πρὸς τοὺς ἐχθρούς.

17. καὶ ὅταν διώκῃ τοὺς ἐχθροὺς ἡ πρώτη παραταγή, ἀσφαλῶς καὶ μετὰ προθυμίας ποιεῖ τὴν δίωξιν. καὶ γάρ, ὡς ἔτι φεύγουσιν οἱ ἐχθροί, ἂν ἀντιστραφῶσι, καθὼς πολλάκις γίνεται, ἢ ἂν ἔλθωσιν ἐξαίφνης ἄλλοθεν ἐχθροί, ἀπαντᾷ ἡ δευτέρα παραταγὴ καὶ συνάγει καὶ φυλάττει τοὺς τῆς πρώτης παραταγῆς.

1285. γίνηται C.

αὐτούς. πρὸς τούτοις, εἰ συμβῇ τελείαν τροπὴν ὑπομεῖναι τὴν πρώτην τάξιν, ὡς μηδὲ δύνασθαι ἀντιστραφῆναι κατὰ τῶν ἐπικειμένων αὐτῇ, ἡ δευτέρα συντεταγμένως εὑρισκομένη εὐκόλως καταγωνίζεται τὴν ἐναντίαν, κἂν * ἐντρέψῃ, ὡς εἴρηται, τὴν πρώτην. πᾶσα γὰρ ἀνάγκη ἐκ τῆς συγκρούσεως τὴν τάξιν τῶν ἐναντίων ἀκατάστατον καὶ διαλελυμένην γίνεσθαι ὡς πρὸς συντεταγμένην δύναμιν, τοῦτ'

CONSTITUTIO XII.

18. Ἀλλὰ καί, (ὃ μὴ γένηται,) εἰ συμβῇ τελείαν τροπὴν γενέσθαι τῆς πρώτης τάξεως καὶ οὐ δύνασαι ἀντιστραφῆναι κατὰ τῶν ἐπελθόντων αὐτῇ πολεμίων, εὑρίσκεται ἡ δευτέρα τάξις ἑτοίμη καὶ εὐκόλως πολεμεῖ καὶ καταγωνίζεται τὴν ἐναντίαν δύναμιν, κἂν τάχα παντελῶς τραπῇ ἡ πρώτη παράταξις.

19. Καὶ γὰρ ἀνάγκη πᾶσα τὴν τάξιν τῶν ἐναντίων [ἐχθρῶν] ἀπὸ τῆς συγκροτήσεως τοῦ πολέμου ἀκατάστατον γενέσθαι καὶ διαλελυμένην, καὶ τῆς ἡμετέρας

3546. Verba inde ab Ἀλλὰ usque ad **(3547.)** τάξεως omm. **P$_1$E** || εἰ συμβῇ om. **M**; in **W** a m. secunda post τροπὴν est insertum εἰ συμβῇ; **Meursii codex tert.** et **AP$_1$E** ἐὰν συμβῇ exhibent || **3547.** δύναται **W**, sed factum ex δύνασαι; δύνηται **P$_1$E** || **3549.** ἑτοίμη καὶ μετὰ (μετα **A**) τάξεως ἱσταμένη **AP$_1$E** || καὶ omm. **P$_1$E** || καταπολεμεῖ **A** || καταπολεμεῖ εὐκόλως **P$_1$E** || **3550.** τὴν τῶν ἐναντίων δύναμιν **AP$_1$E** || κἂν **MP$_1$E**, καν **W** || **3553.** ἐχθρῶν a Scheffero p. 413 pro glossa habetur; πᾶσαν pro πᾶσα commendatur ab eo eodem loco || συγκρο ύσεως **W**, sed ού in ras. trium litterarum a manu secunda.

18. *καί, ἂν οὐ δύνηται ἀντιστραφῆναι κατὰ τῶν διωκόντων αὐτὴν πολεμίων, εὑρίσκεται ἡ δευτέρα παραταγὴ ἕτοιμος καὶ πολεμεῖ εὐκόλως καὶ τρέπει τοὺς πολεμίους, κἂν τάχα παντελῶς ἡ πρώτη παραταγὴ τραπῇ.*

19. *ἐπειδὴ ἡ παραταγὴ τῶν ἐχθρῶν, ὡς ἔχει συγκροῦσαι μετὰ τῆς πρώτης ἡμῶν παραταγῆς, — κἂν τάχα καὶ στρέψῃ αὐτήν, ἀλλὰ — φύρεται καὶ παραλύεται, ἡ δὲ δευτέρα*

1288. ἕτοιμος] cf. *Blass-Debrunner*[4] p. 35.

ἔστι τὴν δευτέραν. καὶ τὸ πάντων ἀναγκαιότερον, ὅτι οὐ μόνον πρὸς τὰς ἰσαρίθμους δυνάμεις ἐστὶν ἁρμοδία ἡ διπλῆ, ὡς εἴρηται, παράταξις, ἀλλὰ καὶ πρὸς τὰς ὑπερεχούσας αὐτήν, ὡς δηλοῖ καὶ ὁ λογισμὸς καὶ τὸ σχῆμα τῆς ὑποκειμένης καταγραφῆς. ἴσως δέ τινας συμβαίνει λέγειν, ὅτι τῆς πρώτης τάξεως ἐκταρασσο-

CONSTITUTIO XII.

c. 812. δευτέρας τάξεως εὐτάκτως ἱσταμένης καὶ μετὰ καταστάσεως, τῆς δὲ τῶν ἐχθρῶν πεφυρμένης προτερεῖν μᾶλλον τὴν ἡμετέραν καὶ ἐπιδιώκειν τοὺς διαλύσαντας τὴν τάξιν.

20. Ἀλλὰ καὶ τὸ ἀναγκαιότερον παρὰ πάντα, ὅτι οὐ μόνον πρὸς τὰς ἰσομέτρους δυνάμεις ἤγουν τῶν τε ἡμετέρων καὶ τῶν ἐναντίων ἁρμοδία ἐστὶ καὶ ἀναγκαία, ὡς εἴρηται, ἡ εἰς δύο παρατάξεις διαίρεσις τοῦ στρατοῦ, ἀλλὰ καὶ πρὸς τὰς ὑπερεχούσας καὶ πλέον τῶν ἡμετέρων οὔσας δυνάμεις.

21. Ἐὰν δέ τις λέγῃ, ὅτι τί ὄφελος; τῆς γὰρ

3555. παρατάξεως A P_1 E || ἀτάκτως A || 3556. προτερεῖν] ὑπερέχειν A P_1 E || 3557. τῇ ἡμετέρᾳ P_1 E || ἐπιδιώκει P_1 || 3559—3560. Verba ἤγουν . . . . . ἐναντίων omm. A P_1 E || 3560. ἁρμόδια P_1 E || ἐστὶν W || ἀναγκαία Migne, ἀναγκαῖα codd. || 3561. ὡς εἴρηται omm. A P_1 E || ἡ omm. P_1 E || 3564. τί ὄφελος] οὐδὲν ὄφελος τῆς δευτέρας παρατάξεως A P_1 E || 3564—3565. Pro τῆς γ. πρ. τ. ταρ. A P_1 E habent:

ἡμετέρα παραταγὴ ἵσταται μετὰ τάξεως καὶ νικᾷ τὴν παραταγὴν τῶν πολεμίων, εὑρίσκουσα αὐτὴν ἀκατάστατον, καὶ διώκει αὐτήν.

20. ἀλλὰ καὶ τὸ ἀναγκαιότερον παρὰ πάντα, ὅτι οὐ μόνον, ὅτε ἐστιν ἐξ ἴσου ἡ δύναμις τῶν πολεμίων καὶ ἡ ἡμετέρα, ἁρμόδιόν ἐστι τὸ εἶναι εἰς δύο παραταγὰς κεχωρισμένον | fol. 21r
c. 1273. Lami. τὸν στρατόν, ||| ἀλλὰ καὶ περισσοτέρα ἂν ὑπάρχῃ ἡ δύναμις τῶν πολεμίων. καὶ τότε γὰρ μεγάλην ὠφέλειαν ἔχομεν ἐκ τοῦ ἔχειν δευτέρας παραταγάς.

21. ἂν δὲ λέγῃ τις· τί ὄφελός ἐστι τῆς δευτέρας παραταγῆς; πάντως

1294. ὅτι ἐστὶν C.

μένης ἤτοι τρεπομένης εὐχερῶς καὶ ἡ δευτέρα *συναπάγεται, — πρὸς οὓς λέγομεν, ὅτι, ἐὰν δύο τάξεων γινομένων, ὡς εἴρηται, ἐπισφαλὲς τὸ πρᾶγμα φαίνεται, μιᾶς γινομένης καὶ ταύτης τρεπομένης τί ἂν ἔστιν ἐντεῦθεν ἐλπίσαι; εἰ δὲ πάλιν τις λέγει, ὅτι τῆς δυνάμεως ἤτοι τοῦ στρατοῦ μεριζομένου εἰς πρώτην καὶ δευτέραν τάξιν ἀσθενεστέρα ἡ τάξις

CONSTITUTIO XII.

πρώτης τάξεως ταρασσομένης καὶ τρεπομένης εὐχερῶς καὶ ἡ δευτέρα συναπάγεται αὐτῇ καὶ συντρέπεται, — ἀλλὰ ἀκουσάτω ὁ τοιοῦτος, ὅτι, ἐὰν δύο παρατάξεων, καθὼς εἰρήκαμεν, γινομένων ἐπισφαλὲς τὸ πρᾶγμα γίνεται, τί | ἂν τις ἐλπίσει, ὅτ' ἂν καὶ μία [p. 140. M.]
μόνη ἐστὶ παράταξις καὶ ταύτη τραπεῖσα οὐκ ἔχει ἑτέραν, δι' ἧς βοηθηθῆναι δύναται καὶ ἀνακληθῆναι;

22. Ἐὰν δὲ πάλιν λέγῃ, ὅτι τῆς δυνάμεως πάσης ἤγουν τοῦ στρατοῦ μεριζομένου εἰς πρώτην καὶ εἰς δευτέραν παράταξιν ἀσθενεστέρα καὶ

τῆς πρώτης γὰρ ταρασσομένης (παρατασσομένης P_1E) παρατάξεως || **3565.** καὶ τρεπομένης omm. **AP_1E** || **3566—3567.** Pro *συναπάγεται . . . . συντρέπεται* **AP_1E** habent *σὺν αὐτῇ τρέπεται* || **3567.** *ἀλλὰ* omm. **AP_1E** || **3568.** *καθὼς εἰρήκαμεν* omm. **AP_1E** || *γενομένων* Migne || **3569.** *πραγμα* **W** || *γίνηται* **E** || *ἐλπίσῃ* **P_1E** || **3570.** *μόνον* **P_1E** || *ἐστι* **MW**, *ὑπάρχῃ* **P_1E** || *ταύτη*] cf. *Psaltes* p. 196; *αὕτη* **WP_1E**, sed in **W** factum a manu sec. ex *ταύτη*; *αὕτη* **A** || **3571.** *δευτέραν* **P_1E** || *δύνανται* **P_1** || **3572.** *λέγει* **E** || **3573.** *εἰς* omm. **P_1E.**

γὰρ τρεπομένης τῆς πρώτης τραπήσεται εὐκόλως καὶ ἡ δευτέρα, — εἴπωμεν πρὸς αὐτόν, ὅτι, ἂν γένωνται δύο παραταγαὶ καὶ ὑπάρχῃ οὕτως ἐπικίνδυνον καὶ ἐπισφαλὲς τὸ πρᾶγμα, τίνα ἐλπίδα τις λάβῃ, ὅταν ὑπάρχῃ μόνη παραταγὴ καὶ τραπῇ καὶ ἐκείνη, καὶ οὐκ ἔχῃ ἄλλην παραταγήν, ἵνα βοηθήσῃ καὶ ἀνακαλέσηται αὐτήν;

22. ἂν δὲ λέγῃ τις πάλιν, ὡς ὅταν χωρίσῃς τὸν στρατὸν εἰς πρώτην καὶ εἰς δευτέραν παραταγήν, ἀσθενεστέρα καὶ ἀδυνατωτέρα ⟨ἡ παρα–

1304. ἀνθενέστερα[ος] et ἀνδυνατώτερα[ος] C || ἡ παραταγὴ] inserui.

εὑρίσκεται, κατανοήσει, ὅτι, εἰ μὲν ἐμερίζετο ἡ δύναμις καὶ ἐχωρίζετο τῆς μάχης, καλῶς ἂν τοῦτο ἠπορεῖτο. ἀλλ' οὐ τὴν δύναμιν ἐμερίσαμεν, τὸ σχῆμα δὲ μόνον ἠλλάξαμεν. ὃ γὰρ ἐπ' εὐθείας συνέβαινε πρὸ τούτου πᾶσαν τὴν δύναμιν ἐκτασσομένην μακρὰν καὶ λεπτὴν εὑρίσκεσθαι, ταύτην ἐν διπλῇ τάξει ἐποιήσαμεν, οὐ τῆς μάχης χωρίσαντες, ἀλλὰ τὸ σχῆμα ἐναλλάξαντες καὶ πλέον αὐτὴν διὰ τῶν προλεχθέντων τρόπων ὀχυρώσαντες.

CONSTITUTIO XII.

ἀδυνατωτέρα ἡ τάξις εὑρίσκεται, κατανοήσει καὶ τοῦτο, ὅτι, ἐὰν μὲν ἡ δύναμις ἐμερίζετο καὶ ἐχωρίζετο τοῦ πολέμου, καλῶς ἂν τοῦτο ἠπόρει. ἀλλ' ἡμεῖς οὐ τὴν δύναμιν κελεύομεν μερισθῆναι, ἀλλὰ μόνον τὸ σχῆμα ἀλλαγῆναι. καὶ γάρ, ὃ πρὸ τοῦ ἀλλαγῆναι τὸ σχῆμα συνέβαινε γενέσθαι, τὸ πᾶσαν τὴν δύναμιν εἰς μίαν παράταξιν τασσομένην μακρὰν καὶ λεπτὴν εὑρίσκεσθαι, τοῦτο ἐν τῇ διπλῇ τάξει εὐπορήσαμεν συμμέτρους τὰς δύο τάξεις ποιήσαντες διὰ τὸ πλησίον ἀλλήλων εἶναι, οὐ τῆς μάχης χωρίσαντες, ἀλλὰ τὸ σχῆμα ἐναλλάξαντες καὶ τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν τάξαντες καὶ πλέον τὰς παρατάξεις διὰ τὸν προειρημένον τρόπον κατοχυρώσαντες.

3578. Verba *ἀλλὰ μ. τὸ σχ. ἀλλ.* om. **P**$_1$; **E** habet *ἀλλ' ἀγῆναι* || **3579.** Verbo *καὶ ξ.* incipit in **W** || *ὁ* **A P**$_1$ **E** || **3580.** *συνέβαινεν* **A** || **3582.** *εὐπορήσαμεν* **P**$_1$ **E** || **3583.** *β'* **P**$_1$ **E** || **3586—3587.** *τῶν προειρημένων] τὸν προειρημένον* **E**, *τρόπων* **A P**$_1$ **E**.

ταγῇ) εὑρίσκεται, δεῖ ἐννοεῖν ὁ τοιοῦτος, ὅτι οὐ χωρίζομεν τὸν στρατὸν καὶ ἐκβάλλομεν τὸ ἥμισυ αὐτοῦ ἀπὸ τοῦ πολέμου, ἀλλὰ τὸ σχῆμα αὐτοῦ ἐναλλάσσομεν· πάντως γάρ, ἂν οὐκ ἠλλάξαμεν τὸ σχῆμα, οὐκ ἐποιήσαμεν τὸν στρατὸν εἰς δύο παραταγάς, ἀλλὰ ἕν· μία παραταγὴ μακρὰ ἔμελλεν εἶναι καὶ λεπτή, χωριζομένη δὲ εἰς δύο παραταγὰς γίνεται σύμμετρος καὶ ὀχυρωτέρα διὰ τὸ εἶναι τὴν μίαν ἔμπροσθεν καὶ τὴν ἄλλην ὄπισθεν ἐγγὺς ἀλλήλων.

1307. ἓν ego, ἐν C.

2. *Περὶ διανομῆς τῶν ἐν τῇ παρατάξει ταγμάτων.* Διά τοι τοῦτο εἰς μοίρας καὶ μέρη ἤτοι τοὺς λεγομένους δρούγγους διαφόρους χρὴ τὸν πάντα καβαλλαρικὸν στρατὸν διανέμεσθαι, εἴτε πολύς ἐστι, εἴτε καὶ σύμμετρος. δῆλον γάρ, ὅτι λόγος ὀφείλει τῷ στρατηγῷ γίνεσθαι, ὡς ἐνδέχεται, ὅτ᾽ ἂν μάλιστα πρὸς τακτικὰ ἔθνη ἡ μάχη γίνεται, ἵνα κατὰ τὸ δυνατὸν *μήποτε πρὸς πλείους

CONSTITUTIO XII.

23. Διὰ τοῦτο γὰρ εἰς μέρη διάφορα καλῶς ἂν καὶ πρέπον ἐστὶ τὸ τὸν πάντα καβαλλαρικὸν στρατὸν διαμερίζεσθαι, κἄντε πολύς ἐστι, κἄντε σύμμετρος. εὔδηλον γὰρ καὶ πρέπον, ἵνα χρεωστῇς, ὦ στρατηγέ, λόγον ποιεῖσθαι καὶ κατάστασιν, ὡς ἐνδέχεται, ὅτ᾽ ἂν μάλιστα καὶ πρὸς ἔθνη πολεμῇς τάξιν ἔχοντα καὶ τέχνην πολέμου.

24. Ἐὰν δὲ δύνασαι, μὴ ποιῇς φανερῶς τὸν πόλεμον, ὅτ᾽ ἂν γινώσκῃς, ὅτι πλείους σου εἰσὶν οἱ πολέμιοι. καὶ γὰρ πρέπον σοι πρότερον τὴν δύναμιν τῶν πολεμίων σου ἀναμαθεῖν καὶ οὕτως ποιήσασθαι τὴν συμβολὴν τοῦ πολέμου.

3588—3589. *καλῶς ἂν καὶ πρ. ἐστὶ*] *πρέπον ἐστὶ καὶ καλὸν* **AP₁E** || **3589.** *τὸ* omm. **P₁E** || *πάντα τὸν* **AP₁E** || **3590.** *κἄντε* **MW** || **3590—3591.** Pro *εὐδ. γὰρ . . . . λόγον ποιεῖσθαι* **AP₁E** habent: *πρέπον γάρ ἐστι* (*ἐστιν* **A**) *φροντίδα ποιεῖσθαι σε ὦ στρατηγέ* || **3594.** *δύνῃ* **P₁E** || *ποιῆσαι* in **W** factum a m. sec. ex *ποιῇς* || **3595.** *πλείονες* **A**, *πλειονές* **P₁E** || **3596.** *πρέπον σοι ἐστὶ* (*ἐστὶν* **A**) **AP₁E**.

23. *καλὸν γάρ ἐστιν, ὁ καβαλλαρικὸς στρατὸς ἵνα εἰς διάφορα μέρη χωρίζηται, εἴτε πολύς ἐστιν, εἴτε σύμμετρος. ὀφείλεις γάρ, ὦ στρατηγέ, κατὰ λόγον παρατάσσειν καὶ κατάστασιν, ὅσην ἐνδέχεται, ποιεῖν εἰς τὰς παραταγάς, κατεξαίρετον, ὅτε πολεμεῖς πρὸς ἔθνη ἔχοντα τάξιν καὶ τέχνην πολέμου.*

24. *ὅτε δὲ γινώσκεις, ὅτι περισσότεροί εἰσιν οἱ πολέμιοι, τότε, ἂν δύνασαι, μὴ ποιῇς φανερῶς τὸν πόλεμον. πρέπει γάρ, ἵνα πρῶτον ἀναμανθάνῃς τὴν δύναμιν τῶν πολεμίων καὶ οὕτως ἔπειτα ποιῇς τὴν συμβολὴν τοῦ πολέμου.*

1314. *μὴ*] *ἢ* C.

αὐτοῦ τὸν πόλεμον φανερῶς ποιεῖται. καὶ εἰ μὲν πεζικὸς σύνεστι στρατός, ὡς δηλοῦται ἐν τῷ περὶ τούτου λόγῳ, οὕτως τὴν τάξιν ποιεῖσθαι, εἰ δὲ μόνοι καβαλλάριοί εἰσιν καὶ πρὸς καβαλλαρίους ἡ μάχη πρόκειται, εἰς τρεῖς καβαλλαρικὰς τάξεις ποιεῖν ⟨τὸν στρατόν⟩. καὶ τὴν μὲν πρώτην τάξιν, τὴν λεγομένην πρόμαχον, ἐν τρισὶν ἴσοις μέρεσιν τάσσειν, ἀπὸ τριῶν μοιρῶν ἔχοντος ἑκάστου μέρους, καὶ ἐν μὲν τῷ μέσῳ μέρει τάσσεσθαι τὸν ὑποστράτηγον, ἐν δὲ τοῖς ἑκα-

CONSTITUTIO XII.

[p. 141. M.] 25. Ἐὰν δὲ ἔχῃς πεζικὸν στρατόν, ποιήσασθαι τούτου τὴν παράταξιν, ὡς μετὰ ταῦτα δηλώσομεν ἐν τῇ περὶ τῶν πεζῶν καὶ τῶν συμμίκτων τοῖς καβαλλαρίοις διατάξει.

26. Ἐὰν δὲ μόνοι καβαλλάριοί εἰσιν καὶ πρὸς καβαλλαρίους ὑπόκειται ὁ πόλεμος, καὶ εἰς τρεῖς καβαλλαρικὰς τάξεις διαμερίσεις τὸν στρατὸν καὶ τὴν μὲν πρώτην παράταξιν, ἥτις λέγεται πρόμαχος, εἰς τρία ἴσα μέρη ἐκτάξεις, ἀπὸ τριῶν μοιρῶν ἔχοντος ἑκάστου μέρους ἤγουν ἀπὸ τριῶν δρούγγων ἑκάστης τούρμας, καὶ ἐν τῷ μέσῳ μέρει τάξεις τὸν ὑποστράτηγόν σου, ἐν δὲ τοῖς

3600. In **W** litt. *ο* verbi *δηλώσομεν* in ras. ex *ω*, ut videtur, facta || **3601.** Cf. XIV, 63. || **3603.** *εἰ* **E** || *εἰσὶν* **WA**, *εἰσὶ* **ceteri** || **3604.** **P₁E** *τάχα* inserunt post *τρεῖς*, **Meursii codex tert.** et **A** post *καβαλλαρικὰς* || **3605.** *τάξεις* omm. **AP₁E** || *τὸ στράτευμα* **AP₁** || **3609.** *ὑποστρατηγόν* **MWP₁**.

25. εἰ δὲ ἔχεις πεζικὸν στρατόν, ἵνα ποιῇς τὴν παραταγὴν τοῦ πολέμου ὡς ἔχομεν μετὰ ταῦτα δηλῶσαι, ὅταν περὶ τῶν πεζῶν λέγωμεν καὶ τῶν ὄντων σὺν αὐτοῖς καβαλλαρίων.

26. εἰ δὲ ἔχεις καβαλλαρικὸν μόνον στρατὸν καὶ ἔστι καὶ πρὸς καβαλλαρίους ὁ πόλεμος, χώρισον τὸν στρατὸν εἰς τρεῖς μόνον καβαλλαρικὰς παραταγὰς καὶ τὴν μὲν πρώτην ποίησον ἐξ ἴσου εἰς τρία μέρη, ἐχέτω δὲ ἕκαστον μέρος | ἀπὸ τριῶν δρούγγων καὶ εἰς τὸ

1317. πεζικὸν] καβαλλαρικὸν C || 1332. Verba ἀπὸ τριῶν iterantur in C.

τέρωθεν αὐτοῦ τοὺς μεράρχας, μέσους τῶν ὑπ' αὐτοὺς μοιράρχων. ταῦτα δὲ τὰ μέρη ἀπὸ κουρσώρων καὶ δηφενσώρων συνίστασθαι, ὥστε τὸ μὲν τρίτον ποσὸν ἑκάστου μέρους, τὸ ἑκατέρωθεν, κούρσωρας εἶναι (τοξότας μάλιστα), τὸ δὲ δίμοιρον, τὸ ἐν μέσῳ αὐτοῦ, δηφένσωρας.

CONSTITUTIO XII.

ἑτέροις δυσὶν ἤγουν τῷ δεξιῷ καὶ τῷ ἀριστερῷ τοὺς τῶν μερῶν ἄρχοντας, μέσους τῶν ὑποτεταγμένων αὐτοὺς ἀρχόντων ἤγουν τῶν μοιράρχων.

|| 27. Ταῦτα δὲ τὰ τρία μέρη συστήσεις ἀπὸ κουρ- c. 813.
σώρων ἤγουν τῶν εἰς κοῦρσον τεταγμένων στρατευμάτων, οὓς νῦν λέγουσι προκλάστας, καὶ διφενσώρων ἤγουν τῶν ὑποδεχομένων τοὺς εἰς τὸ κοῦρσον ἐλαύνοντας καὶ ἐκδικούντων αὐτούς, ὥστε ἑκάστου μέρους τὸ τρίτον ποσὸν κουρσάτωρας εἶναι (τούτους δὲ εἶναι καὶ τοξότας), τὸ δὲ δίμοιρον, τὸ ἐν μέσῳ τοῦ στρατοῦ, διφένσωρας ἤγουν ἐκδίκους, τοὺς ὑποδεχομένους τοὺς κουρσάτωρας.

3610. *τῷ τε δεξιῷ* **AP₁E** || **3611.** *αὐτοῖς* **AP₁E**; cf. **1373.** || **3612.** *μοιράρχων* **MW**, *τουρμαρχων* **A**, *μοιραρχῶν* **P₁E**; *μεραρχῶν* voluit **Meursius** || **3613—3614.** *κουρσόρων* **MW** || **3614.** et **3616.** *κουρσον* **W** || **3614—3615.** *στρατιωτῶν?* || **3615.** *διφενσόρων* **MW**, *διφενσώρων* **AP₁E** || **3617.** *διεκδικούντων* **E**, *διεκδικούντων* **P₁** || **3618.** *κουρσάτορας* **M**, *κουρσατορας* **W**, *κούρσωρας* **AP₁E** || **3620.** *διφένσορας* **MW** || **3621.** *κουρσάτορας* **MW**.

μέσον μέρος στηκέσθω ἡ μετὰ σὲ δευτέρα κεφαλή, εἰς δὲ τὰ ἄλλα δύο μέρη ἤγουν εἰς τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν στηκέσθωσαν οἱ ἄρχοντες τῶν μερῶν μέσον τοῦ λαοῦ αὐτῶν.

27. ταῦτα δὲ τὰ τρία μέρη στῆσον ἀπὸ κουρσατόρων, οὓς ἔλεγον τὸ παλαιὸν δεφένσορας διὰ τὸ εἶναι αὐτοὺς ἀποτεταγμένους εἰς τὰ κούρση, μετὰ τῶν δεφενσόρων. οὗτοι δέ εἰσιν οἱ ὑποδεχόμενοι τοὺς ἐλαύνοντας εἰς τὸ κοῦρσον καὶ ἐκδικοῦντας αὐτούς. ὀφείλει δὲ μία ἑκάστη παραταγὴ ἐκ τῶν τριῶν τούτων τὸ τρίτον μέρος ἔχειν προκουρσάτορας, οἱ δὲ αὐτοὶ ἔστωσαν καὶ τοξόται, τὰ δὲ δύο μέρη δεφένσορες.

1324. *στηκέθωσαν* C || 1326. *κούρση*] = *κοῦρσα*. Cff. ceterum *Du Cange* s. v. et *Iac. Reiskii* Comm. in Const. Porph. De cerim. (ed. Bonnensis) p. 726 et s. Repudianda ideo forma ὁ *κοῦρσος Cecaum.* p. 111.

3. *Περὶ πλαγιοφυλάκων καὶ ὑπερκεραστῶν.* Παρατάξαι δὲ τῇ πρώτῃ ταύτῃ τάξει κατὰ μὲν τοῦ ἀριστεροῦ μέρους, καθ' οὗ καὶ ὑπερκεράσεις καὶ κυκλώσεις ὑπὸ τῶν ἐναντίων εὐκόλως γίνονται, δύο ἢ τρία βάνδα εἰς πλαγιοφύλακας, ἰσομετώπους τοῦ αὐτοῦ μέρους, κατὰ δὲ τοῦ δεξιοῦ μέρους βάνδον ἓν ἢ δύο, τοὺς λεγομένους ὑπερκεραστάς, τοξότας, τὴν δὲ δευτέραν τάξιν, τὴν λεγομένην βοηθόν, ἔχουσαν μέχρι τὸ τρίτον ποσὸν τοῦ παντὸς στρατοῦ,

CONSTITUTIO XII.

28. Παρατάξεις δὲ ἐν τῇ πρώτῃ τάξει οὕτως· εἰς μὲν τὸ ἀριστερὸν μέρος, εἰς ὃ μάλιστα καὶ αἱ κυκλώσεις τῶν ἐναντίων εὐκόλως γίνονται, δύο ἢ τρία βάνδα, ἵνα [p. 142. M.] εἰσὶ πλαγιοφύλακες ἱστάμενοι ἴσοι τοῦ αὐτοῦ μέρους, καὶ βάνδον ἓν ἢ δύο [βάνδα] τοξότας, τοὺς λεγομένους ὑπερκεραστὰς ἤγουν ἑτοίμους ὄντας εἰς κύκλωσιν τῶν πολεμίων, τούτους στήσεις εἰς τὸ μέρος τὸ δεξιόν. καὶ τὴν μὲν πρώτην τάξιν οὕτως παρατάξεις.

29. Τὴν δὲ δευτέραν παράταξιν, τὴν λεγομένην βοηθόν, τάξεις, ἵνα ἔχῃ τὸ τρίτον ποσὸν τοῦ παντὸς στρατοῦ, καὶ ταύτην ποιήσεις εἰς τέσσαρα μέρη, ἵνα ὡς

3623. *καὶ* omm. **MW** || 3625. *ὧσι* **P_1E** || *ἴσοι* **A** || 3626. *β* **P_1E** || *βάνδα* omm. **AP_1E**, habent **MW** || 3628. *στήσει* **P_1E** || 3632. *ποιήσῃς* **M** || *δ* **P_1E** || *ὡς* omm. **P_1E**.

28. παράταξον δὲ εἰς τὴν πρώτην παραταγὴν οὕτως· εἰς μὲν τὸ ἀριστερὸν μέρος, ὅπου γίνονται ἴσαι αἱ κυκλώσεις τῶν πολεμίων, στῆσον δύο ἢ τρία βάνδα πρὸς τὸ εἶναι πλαγιοφύλακας, πλὴν ἵνα στήκωσιν ἴσα τοῦ μετώπου τῆς παραταγῆς. εἰς δὲ τὸ δεξιὸν μέρος στῆσον ἓν ἢ δύο βάνδα τοξότας, τοὺς λεγομένους ὑπερκεραστάς, ἵνα ὦσιν ἕτοιμοι πρὸς τὸ κυκλῶσαι τοὺς πολεμίους. καὶ τὴν μὲν πρώτην παραταγὴν ἵνα παρατάξῃς οὕτως.

29. τὴν δὲ δευτέραν, τὴν λεγομένην βοηθόν, ποίησον οὕτω· χώρισον τὸ τρίτον μέρος ὅλον τοῦ στρατοῦ καὶ ἀφόρισον αὐτὸ εἰς τὴν δευτέραν παραταγὴν καὶ ποίησον αὐτὸ εἰς

1332. *ἴσα* C.

εἰς τέσσαρα μέρη κατὰ τὸ ὑποτεταγμένον σχῆμα ἀπὸ ἑνὸς σαγιττοβόλου κατὰ πλευρὰν ἀλλήλων περιπατοῦντα. ταῦτα δὲ τὰ μέρη ἀμφίστομα ποιεῖν διὰ τὰς κατὰ τοῦ νώτου ἐπεξελεύσεις. καὶ ἐν τοῖς ἄκροις δὲ αὐτῆς μέρεσιν ὄπιθεν ὡς ἀπὸ ἑνὸς σαγιττοβόλου ἑκατέρωθεν ἀπὸ ἑνὸς βάνδου ποιεῖν ἐν τάξει νωτοφυλάκων εἰς τρίτην

CONSTITUTIO XII.

ἀπὸ ἑνὸς σαγιττοβόλου διαστήματος κατὰ τὰς πλευρὰς ἀλλήλων περιπατοῦσι τὰ τοιαῦτα μέρη. ταῦτα δὲ τὰ μέρη ἀμφίστομα ποιήσεις ἤγουν δίστομα, ἵνα καὶ οἱ ἔμπροσθεν πρὸς τὸ λεγόμενον μέτωπον εἰσὶν δυνατοὶ καὶ καθωπλισμένοι, ὁμοίως καὶ οἱ ὄπισθεν πρὸς τὴν λεγομένην οὐρὰν δυνατοὶ καὶ καθωπλισμένοι, ἵνα καί, ἐὰν κατὰ τοῦ νώτου ἤγουν ὀπίσω αὐτῶν ποιήσωσι προσβολὴν οἱ ἐχθροί, ἀντιστρέφονται καὶ εὑρίσκονται ἀπὸ τῶν δύο μερῶν ἕτοιμοι ἀντιτάσσεσθαι.

30. *Ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις μέρεσιν ὄπισθεν τῆς παρατάξεως ἑκατέρωθεν ἤγουν ἔνθεν καὶ ἐκεῖθεν ὡς ἀπὸ*

3633. *ἀπὸ διαστήματος σαγιττοβόλου* (*σαγιτοβόλου* **P₁E**) *ἑνὸς* **AP₁E** || *κατὰ πλευρὰν* **AE**, *κατὰ πλευρῶν* **P₁** || **3634.** *περιπατοῦσιν* **M**, *περιπατῶσι* **AP₁E** || **3634—3635.** *ταῦτα δὲ τὰ μέρη* ex Urbicio ego; cff. **921.**, **937.**, **3024.** XIV, 60. *τὰ δὲ ταῦτα μέρη* **MW**, *τὰ δὲ μέρη ταῦτα* **AP₁E**; cf. **927** || **3635.** *ἀφίστομα* **P₁E** || **3636.** *εἰσὶν* **MW**, *εἰσὶ* **A**, *ὦσι* **P₁E** || **3637—3638.** Verba *ὁμοίως . . . . καθωπλισμένοι* om. **P₁** || **3638.** *καὶ* alt. omm. **AP₁E** || **3639.** *κατὰ τοῦ νώτου ἤγουν* omm. **AP₁E** || *ποιήσωσιν* **M** || Pro *π. πρ.* **AP₁E** habent *προσβάλλωσιν* || **3640.** *ἀντιστρέφονται καὶ εὑρίσκονται* **P₁E** || **3641.** *β̄* **P₁E** || **3642.** Paragraphus non distinguitur in **W** || *ἄκροις* **Meursii codex tert.**, **AP₁E** || **3643—3644.** *ἀπὸ*

τέσσαρα μέρη· ἵνα δὲ περιπατῶσι τὰ τοιαῦτα τέσσαρα μέρη ἀπέχοντα ἓν ἕκαστον μέρος ἀπὸ τοῦ ||| ἄλλου εἰς πλάγιον ὡς ἀπὸ ἑνὸς σαγιτοβόλου. ποίησον δὲ τὰ τοιαῦτα μέρη c. 1276. Lami. *δίστομα, ἵνα καὶ οἱ ἔμροσθεν εἰς τὸ μέτωπον ὦσι δυνατοὶ καὶ ἐξωπλισμένοι, ἵνα καὶ ἐκ τῶν ὀπίσω, ἂν ἐπιστρέφωνται οἱ ἐχθροί, ἀντιστρέφωνται πρὸς αὐτοὺς οἱ περιπατοῦντες ὀπίσω καὶ εὑρίσκωνται ἕτοιμοι καὶ ἔμπροσθεν.*

30. *ἀλλὰ καὶ ἔνθεν καὶ ἐκεῖθεν ὄπισθεν τῆς δευτέρας παραταγῆς ὡς ἀπὸ ἑνὸς*

τάξιν. ἵνα δὲ τὰ ἐν τῷ μέσῳ εὔκαιρα τρία χωρία ⟨ἤγουν⟩ τὰ μεταξὺ τῶν μερῶν τῆς δευτέρας τάξεως ἡνωμένα ὦσιν διὰ παντὸς καὶ ἡ πᾶσα τάξις τῆς δευτέρας ὡς ἓν σῶμα φαίνηται καὶ μὴ διαστρέφηται περιπατοῦσα, ἀναγκαῖον εἰς ταῦτα τὰ διαλείμματα ἀπὸ ἑνὸς βάνδου καταστῆσαι δι' ὅλου τοῦ εὐκαίρου διαστήματος αὐτῶν, ἢ ἀπὸ δύο καβαλλαρίων τὸ βάθος ἔχοντα, ἢ τὸ καλῶς ἔχον ἀπὸ τεσσάρων, ἐν

CONSTITUTIO XII.

ἑνὸς σαγιττοβόλου διαστήματος ἐκτάξεις ἀπὸ ἑνὸς βάνδου ἐν τάξει νωτοφυλάκων, οἷον εἰς τρίτην τάξιν.

31. Ἵνα δὲ καὶ τὰ ἐν τῷ μέσῳ χωρία ἤγουν τὰ διαστήματα τῆς δευτέρας τάξεως ἡνωμένα εὑρεθῶσι διὰ παντὸς καὶ ἡ πᾶσα τάξις ὡς ἓν σῶμα φαίνηται καὶ μὴ διαστρέφηται περιπατοῦσα, ἀναγκαῖόν σοί ἐστιν εἰς ταῦτα τὰ ἐν μέσῳ διαλείμματα ἀπὸ ἑνὸς βάνδου [p. 143. M.] καταστῆσαι εἰς ὅλον τὸ εὔκαιρον διάστημα, | ἔχοντα τὸ βάθος ἤγουν τὸ πάχος ἢ ἀπὸ δύο καβαλλαρίων, ἢ

διαστήματος σαγιτοβόλου ἑνὸς (ἑνὸς σαγιτοβόλου A) A P_1 E || 3644. ἐκτάξῃς M, ἐκτάξῃς W, παρατάξεις A P_1 E || 3645. παράταξιν A P_1 E || 3646. χωρεῖα M W || Pro χ. ἤγ. τ. δ. A P_1 E, διαχωρίσματα habent || 3647. β' P_1 E || παρατάξεως A P_1 E || 3648. παράταξις A P_1 E || σώματι [= σῶμά τι] P_1 E || 3649. ἀναγκαῖον (αναγκαῖον W) σοι ἐστὶν (ἐστιν W) codd. || 3650. διαχωρίσματα A P_1 E || 3651. περιβαλεῖν A P_1 E || ἔχοντα factum ex ἔχωντα in M; εἶναι δὲ A P_1 E || 3652. ἢ] τῶν παρεμβαλλομένων (παρεκβαλλομένων A) εἰς τὰ διαχωρίσματα A P_1 E || β' P_1 E.

σαγιτοβόλου παράταξον ἀπὸ ἑνὸς βάνδου, ἵνα ὦσιν ὀπισθοφύλακες, οἷον εἰς τρίτην παραταγήν.

31. εἰς δὲ τὰ χωρίσματα τῆς δευτέρας παραταγῆς ἤγουν εἰς τὰ τρία διάχωρα τῶν τεσσάρων μερῶν ἵνα στήσῃς κατὰ ἓν ἕκαστον διάχωρον ⟨ἀπὸ⟩ ἑνὸς βάνδου καὶ ἵνα κρατῇ ὅλον τὸ τοιοῦτον βάνδον. ἐχέτω τὸ πάχος τοῦ βάνδου ἢ ἀπὸ δύο καβαλλαρίων ἢ τὸ καιτόλου

1346. Inserui.

πλήθει μάλιστα τοῦ στρατοῦ, ἵνα, ὅτ' ἂν καιρὸς γένηται τοῦ ὑποδέχεσθαι τὰ τρεπόμενα μέρη τῆς πρώτης τάξεως, ὑποστελλόμενα τὰ τρία ταῦτα βάνδα, τὰ ἐν τοῖς εὐκαίροις χωρίοις τασσόμενα, μέχρι τοῦ γενέσθαι ἄντικρυς τῶν νωτοφυλάκων τὰ ἀργοῦντα χωρια τῆς ὑποδοχῆς εὔκαιρα ποιοῦσι· καὶ ἅμα μὲν τοὺς τρεπομένους ὑποδέχονται εὔκαιρα τὰ χωρία, ὡς εἴπομεν, ποιοῦντα, ἅμα δὲ ἀναστέλλουσι τοὺς θελοντας περαιτέρω σκορπίζεσθαι, ἅμα δὲ καὶ

CONSTITUTIO XII.

τὸ καλῶς ἔχον ἀπὸ τεσσάρων, μάλιστα πολλοῦ ὄντος τοῦ στρατοῦ, ἵνα, ὅτ' ἂν καιρὸς γένηται ⟨τοῦ ὑποδέχεσθαι⟩ τὰ τρεπόμενα μέρη τῆς πρώτης παρατάξεως, ταῦτα τὰ τρία βάνδα, τὰ ὄντα ἐν τοῖς εὐκαίροις τόποις, ὑποστελλόμενα καὶ συσφιγγόμενα εὔκαιρα ποιοῦσι τὰ χωρία πρὸς τὴν ἐκείνων ὑποδοχήν· καὶ ἅμα μὲν ὑποδέχονται τοὺς τρεπομένους εὔκαιρα χωρία ποιοῦντες, ἅμα δὲ καὶ ἀναστέλλουσι τοὺς θέλοντας σκορπίζεσθαι

3653. *δ* **P_1E** || **3654.** Post *γένηται* **Meursii codex tert.** et **AP_1E** *τοῦ ὑποδέξασθαι* inserunt; *τοῦ ὑποδέχεσθαι* ego ex Urbicio || **3655.** *πρεπόμενα* **E** || *πρώτης* om. **P_1** || **3656.** *τὰ* alterum omm. **Meursii codex tert.**, **P_1E** || **3657.** *συσφιγγόμενα*] *ὑποχωροῦντα ὀπίσω* **AP_1E** || **3658.** Verba *πρὸς τὴν . . . . . χωρία* om. **E** || **3659.** *χ.*] *τὰ διαχωρίσματα* **AP_1** || **3660.** *ἀναστέλλουσιν* **W**, *ἀναστέλλωσι* **P_1E.**

ἀπὸ τεσσάρων, ἂν ἔχομεν μάλιστα πολὺν στρατόν. διὰ τοῦτο δὲ ἔχε τὰς πρώτας παραταγὰς πρὸς τὸ βάνδον εἰς διάχωρα τῆς δευτέρας παραταγῆς, ἵνα καὶ ὁ λαὸς ἡνωμένοι εὑρίσκωνται πάντοτε καὶ ἡ παραταγὴ ὡς συγκρατῇ, τῇ περιπατῇ ἴσα. καὶ μὴ ἔχῃ ἀραιώματα καὶ περιπατῶσιν ἄλλοι ἔμπροσθεν καὶ ἄλλοι ὄπισθεν, ἀλλὰ καί, ἂν τραπῇ ἡ πρώτη παραταγή, ταῦτα τὰ τρία βάνδα, τὰ περιπατοῦντα εἰς τὰ διάχωρα τῆς δευτέρας παραταγῆς, ἵνα συσφίγγωνται καὶ ὑποχωρῶσιν ὀπίσω καὶ ποιῶσι τόπους, ἀποδέχωνται μὲν τοὺς τρεπομένους, ἀναστέλλωσι δὲ τοὺς θέλοντας σκορπίζεσθαι, ἅμα δὲ καὶ ἵνα συστήκωσι τὰ τοιαῦτα βάνδα μετὰ τῶν

1349. *δίχωρα* C || *ἡνωμένοι*] cf. *Kühner-Gerth*[3] I. 53 et s.

ἐν τρίτῃ τάξει καθιστάμενα μετὰ τῶν νωτοφυλάκων τοὺς εἰκὸς κατὰ * νώτου ἐπιφαινομένους ἐχθροὺς εἰς τὸ τὴν δευτέραν τάξιν διαταράξαι ἀπωθοῦσι καὶ ἀδιάλυτον αὐτὴν φυλάττουσιν. εἰ μέντοι σύμμετρός ἐστιν ὁ στρατός, τοῦτ᾽ ἔστιν ἀπὸ πέντε χιλιάδων ἕως δέκα ἢ δώδεκα, τὴν δευτέραν τάξιν μηκέτι ἀπὸ τεσσάρων μερῶν γίνεσθαι, ἀλλ᾽ ἀπὸ δύο, ὥστε ἓν χωρίον ἔχειν εὔκαιρον εἰς ὑποδοχὴν

CONSTITUTIO XII.

ἢ φυγεῖν, ἅμα δὲ καὶ εἰς τρίτην τάξιν συνιστάμενα μετὰ τῶν νωτοφυλάκων ἀποσοβοῦσι πολλάκις τοὺς κατὰ νώτου ἤγουν ὄπισθεν ἐπιφαινομένους καὶ ἐπερχομένους ἐχθροὺς πρὸς τὸ ταράξαι τὴν δευτέραν παράταξιν καὶ ἀδιάλυτον αὐτὴν διαφυλάττουσιν. καὶ ταῦτα μέν, ἐὰν πολύς ἐστιν ὁ στρατός, οὕτως ποιήσῃς.

c. 816. 32. Ἐὰν δὲ σύμμετρον ἔχῃς στρατόν, τοῦτ᾽ ἔστιν ἀπὸ πέντε χιλιάδων ἕως δέκα ἢ δώδεκα, μηκέτι τὴν δευτέραν παράταξιν ἀπὸ τεσσάρων μερῶν ποιήσῃς, ἀλλὰ ἀπὸ δύο καὶ μόνων, ὥστε ἓν [καὶ μόνον] χωρίον ἤγουν τόπον ἔχειν εὔκαιρον εἰς ὑποδοχὴν τῶν καταφευγόντων.

3661. *φεύγειν* **A P_1 E** || 3662. *ἀποσοβοῦσι*] *ἀπαντῶσι καὶ ἀποκωλύουσι* (*ἀποκωλύωσι* **P_1 E**) **A P_1 E** || 3662—3663. *κατὰ νώτου ἤγουν* omm. **A P_1 E** || 3663. *νῶτον* **M** || *πεφασμένους* Meursii codex tert. || *ἐπιφ. καὶ* omm. **A P_1 E** || 3664. *ἐχθροὺς*] *πολεμίους* **P_1** || 3665. *διαφυλάττουσι* **P_1 E** || 3666. *ἐστιν*] *ἢ* **P_1 E** || *ποιήσεις* **A P_1 E** || 3667. *ἔχεις* **E** || *τουτέστιν* **M W**, *τουτέστιν*. **A P_1 E** || 3668. *ε̄* **M W E** || *ῑ* **P_1 E** || *ιβ̄* **P_1 E** || 3669. *δ̄* **M W P_1** || *ἀλλ᾽* **P_1** || 3670. *β̄* **P_1 E** || *καὶ* omm. **A P_1 E** || *μόνων* **A P_1 E**; in **A** ex *μόνον* factum; *μόνον* **M W**, cf. 3733. || *καὶ μόνον* eieci || *χωρίον*] *διαχώρισμα* **A P_1 E** || 3670—3671. *ἤγουν τόπον* omm. **A P_1 E**.

ὀπισθοφυλάκων εἰς τρίτην παραταγὴν καὶ ἀποδιώκωσι πολλάκις τοὺς ἐπερχομένους ἐκ τῶν ὀπίσω ἐχθροὺς πρὸς τὸ ταράξαι τὴν δευτέραν παραταγὴν καὶ φυλάσσωσιν αὐτὴν ἀδιάλυτον. καὶ ταῦτα μὲν ποίησον, ἂν ἔχῃς πολὺν στρατόν.

32. εἰ δὲ σύμμετρον, οἷον ἀπὸ τῶν πέντε χιλιάδων ἕως τῶν δέκα ἢ τῶν δώδεκα, μὴ ποιήσῃς τὴν δευτέραν παραταγὴν εἰς τέσσαρα μέρη, ὡς εἴπομεν, ἀλλ᾽ εἰς δύο, μόνον πρὸς τὸ ἔχειν ἓν μέσον διαχώρισμα ⟨εἰς⟩ τὸ ὑποδέχεσθαι αὐτοὺς καταφεύγοντας.

1360. *διαχώρισμα* ego, *χώρισμα διὰ* C || *εἰς* inserui.

τῶν καταφευγόντων. εἰ δὲ ἐπ' ἔλαττον τῶν πέντε χιλιάδων ἐστὶν ὁ στρατός, δεῖ τὴν δευτέραν τάξιν εἰς ἓν καὶ μόνον μέρος γίνεσθαι.

4. *Περὶ ἐνεδρῶν κατὰ νώτου ἤτοι τῶν πλαγίων τῆς τῶν ἐχθρῶν παρατάξεως.* 1. Πρὸς ἐπὶ τούτοις τρία ἢ τέσσαρα βάνδα, τοὺς λεγομένους ἐκέδρους, δέον ἑκατέρωθεν ἀφορίζειν κατὰ τὸν λεχθέντα περὶ τούτου τρόπον, τοὺς μὲν ὡς κωλύσοντας τὰς ἀπὸ τῶν ἐχθρῶν ἐγχειρουμένας ἐνέδρας κατὰ τῶν ἀριστερῶν ἡμῶν, τοὺς δὲ ποιήσοντας ἐνέδρας κατὰ τοῦ δεξιοῦ τῶν ἐχθρῶν, εἴγε καὶ οἱ

CONSTITUTIO XII.

33. *Εἰ δὲ ὀλιγώτερον τῶν πέντε χιλιάδων ἔχεις στρατόν, τότε τὴν δευτέραν τάξιν ἓν καὶ μόνον μέρος ποιήσεις.*

34. *Ἐπὶ τούτοις δὲ πᾶσι κελεύομέν σοι, ὥστε καὶ τρία ἢ τέσσαρα βάνδα, τοὺς λεγομένους ἐνέδρους ἤγουν ἐγκρύμματα ἔνθεν καὶ ἐκεῖθεν τῆς παρατάξεως ἀφορίσεις καὶ τάξεις, ἵνα εἰσὶν οἱ μὲν κωλύοντες τὰ ἀπὸ τῶν ἐχθρῶν ἐγχειρούμενα ἐγκρύμματα κατὰ τῶν ἀριστερῶν τῆς παρατάξεώς σου, οἱ δὲ ἵνα ποιῶσιν ἐγκρύμματα καὶ ἐπιδρομὴν κατὰ τοῦ δεξιοῦ μέρους τῶν ἐχθρῶν, ἐὰν ἄρα καὶ οἱ τόποι εἰσὶν ἁρμόδιοι.* [p. 144. M.]

3672. ε **MWP$_1$E** || ἔχῃς **MW** || **3673.** παράταξιν **AP$_1$E** || **3676.** γ **P$_1$E** || δ **P$_1$** || **3677—3678.** ἀφορίσαι **A**, ἀφωρίσαι **P$_1$E** || **3678.** τάξαι **AP$_1$E** || εἰσὶν omm. **AP$_1$E** || κωλύωσι **AP$_1$E** || **3680.** ἵνα omm. **P$_1$E** || ποιοῦσιν **Meursii codex tert.** || ἔγκρυμμα **AP$_1$E** || **3681.** ἐπιδρομὰς **Meursii codex tert.** || **3682.** ἄρα **W** || ὦσιν **P$_1$E.**

33. *εἰ δὲ ὀλιγώτερον τῶν πέντε χιλιάδων ἔχεις στρατόν, τότε τὴν δευτέραν παραταγὴν ἓν μέρος μόνον ποίησον.*

34. *ὀφείλεις δὲ καὶ τρία ἢ τέσσαρα βάνδα ἔνθεν κἀκεῖθεν τῆς παραταγῆς ἀφορίσαι εἰς ἐγκρύμματα, ἵνα οἱ μὲν ἐξ αὐτῶν κυκλώσωσι τὰ ἐγκρύμματα τῶν ἐχθρῶν κατὰ τοῦ ἀριστεροῦ μέρους τῆς παραταγῆς σου, οἱ δὲ ἵνα ποιῶσιν ἐγκρύμματα καὶ ἐπιδρομὰς κατὰ τοῦ δεξιοῦ μέρους τῶν ἐχθρῶν, ἂν ἄρα καὶ ὦσιν οἱ τόποι ἁρμόδιοι.*

1363. ὀφείλει C, ὀφείλεις v || 1364. 1365. ἐγχρύματα C.

τόποι εἰσὶν ἁρμόδιοι. σημειωτέον δέ, ὅτι αἱ κατὰ τῶν πλαγίων τῆς τῶν ἐχθρῶν παρατάξεως ἔφοδοι εὐκαίρως γινόμεναι μᾶλλον δραστικώτεραί εἰσι καὶ ἀναγκαῖαι ἤπερ αἱ δι᾽ ὄψεως μόνης συμβολαὶ καὶ ὠθήσεις. εἴτε γὰρ ὀλιγώτεροί εἰσιν οἱ ἐναντίοι, ὡς ἄφνω ἐμπεριλαμβανόμενοι διὰ τῶν τοιούτων ἐφόδων, μείζονα βλάβην ὑφίστανται σώζεσθαι τῶν τρεπομένων εὐκόλως οὐ δυναμένων, εἴτε ἰσόμετροι

CONSTITUTIO XII.

35. *Σημείωσαι γάρ, ὅτι αἱ κατὰ τῶν πλαγίων τῆς τῶν ἐχθρῶν παρατάξεως καὶ αἱ κατὰ τοῦ νώτου ἤγουν ἀπὸ ὄπισθεν αὐτῶν γινόμεναι ἐπιδρομαί, ἐὰν καλῶς γίνωνται καὶ εὐκαίρως, μᾶλλον δραστικώτεραί εἰσι καὶ ἀναγκαῖαι παρὰ τὰς γινομένας δι᾽ ὄψεως μόνης συμβολὰς καὶ ὠθήσεις. κἄντε γὰρ ὀλιγώτεροί εἰσιν οἱ ἐχθροί, ὡς ἐξαίφνης ἐπιλαμβανόμενοι καὶ κυκλούμενοι διὰ τῶν τοιούτων ἐπιδρομῶν, μεγάλην τὴν βλάβην ὑπομενοῦσι μὴ δυναμένων εὐκόλως σώζεσθαι τῶν ἐξ αὐτῶν τρεπο-*

3683. Verba *Σ. γάρ, ὅτι* omm. **AP_1E** || *αἱ*] *οἱ* **MW**, *αἱ γὰρ* **P_1E** || **3684.** *αἱ* om. **P_1** || Verba *κατὰ τοῦ νώτου ἤγουν ἀπὸ* omm. **AP_1E** || **3685.** *γενόμεναι* **P_1E** || **3686.** *γίνωνται* **M** || Pro *γ. καὶ εὐκ.* **AP_1E** *καὶ ἐν ἐπιτηδείῳ καιρῷ γίνωνται* habent || *-αι εἰσὶ* (*εἰσὶν* **W**) codd. || *κ. ἀν.*] *καὶ ἐνεργέστεραι καὶ ἀναγκαῖαι* **AP_1E** || **3688.** *κἄντε* **W**; item infra || *-οι εἰσὶν* **MWA**, *-οι ὦσιν* **P_1E** || **3689.** *ἐπιλαμβανόμενοι καὶ κυκλούμενοι* idem, quod *ἐμπεριλαμβανόμενοι* Urbicii || **3690.** *ὑπόμενοῦσι* (sic) **M** (cf. **2591.**), *ὑπομενουσιν* **W**, *ὑπομένουσιν* **A**, *ὑπομένουσι* **P_1E**.

35. *γίνωσκε γάρ, ὅτι αἱ γινόμεναι ἐπιδρομαὶ κατὰ τῶν πλαγίων τῆς παραταγῆς τῶν ἐχθρῶν καὶ ἐξοπίσω αὐτῶν καί, ἂν γίνωνται καλῶς εἰς ἐπιτήδειον καιρόν, πλέον ἐνεργοῦσι παρὰ τὰς γινομένας τῶν ἔμπροσθεν συμβολάς, ἐπειδή, κἄντε ὀλιγώτεροι ὦσιν οἱ ἐχθροί, κυκλούμενοι ἐξαίφνης ἢ ἀπὸ τῶν πλαγίων ἢ ἀπὸ τῶν ὄπισθεν, μεγάλως βλάπτονται (οὐ γὰρ δύνανται εὐκόλως σώζεσθαι, ὅσοι τραπῶσιν ἐξ αὐτῶν), κἄντε ἴσοι ὦσι, κἄντε περισσότεροι*

1369. *γινομενας* C, accentu proparoxytono deleto (cf. v) || 1371. *σώζεσθαι* C, sed cf. 222.

εἶεν ἢ καὶ πλείους, ἐν ἀγῶνι μεγάλῳ καθίστανται, πλῆθος νομίζοντες εἶναι τοὺς τὴν ἔφοδον ποιοῦντας. διὸ οὐ χρὴ μὲν ἐπιτηδεύειν ἀνάγκης χωρὶς ὀλίγους πρὸς πλῆθος τακτικὸν φανερῶς μάχεσθαι. εἰ δὲ καὶ ἀνάγκη γένηται, μὴ πάντα δι᾽ ὄψεως ἐγχειρεῖν, κἂν πλείους εἰσὶν οἱ ⟨ἡμέτεροι τοῦ⟩ ἀντίς, ἀλλὰ καὶ διὰ τοῦ νώτου τῶν ἐχθρῶν ἢ διὰ τῶν πλαγίων ἐγχειρεῖν. ἐπικίνδυνος γὰρ καὶ ἐπισφαλής ἐστιν ἀεὶ

μένων, κἄντε ἰσόμετροί εἰσιν ἢ καὶ πλείονες τοῦ στρατοῦ τοῦ σοῦ, εἰς ἀγῶνα μέγαν εἰσέρχονται καὶ φόβον, νομίζοντες πλῆθος εἶναι πολὺ τοὺς τὴν ἐπιδρομὴν ποιοῦντας.

36. *Πρόσεχε δέ, ὅτι οὐ πρέπον ἐστὶ χωρὶς ἀνάγκης ὀλίγον στρατὸν πρὸς πλῆθος πολεμίων εὐτάκτων φανερῶς πρὸς μάχην συμπλέκειν. εἰ δὲ καὶ ἀνάγκη τούτου γένηται, μὴ πάντα [φανερῶς καὶ] διὰ ὄψεως ἐγχειρεῖν, κἂν τάχα πλειονές εἰσιν ὁ ἡμέτερος στρατός, ἀλλὰ καὶ διὰ τοῦ νώτου ἤγουν ἀπὸ ὄπισθεν τῶν ἐχθρῶν ἢ διὰ τῶν πλαγίων ἐμβάλλεσθαι εἰς αὐτούς.*

3692. *-οι εἰσὶν* **MWA**, *-οι ὦσιν* **P₁E** || **3692—3693.** *στρ. τοῦ σοῦ*] *σοῦ στρατοῦ* **AP₁E** || **3693.** *εἰσέρχονται* **M** || **3696.** *εστὶν* **W**, *ἐστι* **P₁** || **3699.** *φανερῶς καὶ* eieci || *διὰ ὄψεως*] *εἰς πρόσωπον* **AP₁E** || **3700.** *κἂν* **MP₁**, *κὰν* **W**, *καν* **E** || *πλείων ἐστὶν* **A**, *πλείων ἢ* **P₁E** || *-ες εισὶν* **MW** || **3701.** Pro *διὰ τοῦ νώτου ἤγουν ἀπὸ* **AP₁E** *τῶν ὄπισθεν μερῶν* exhibent || **3702.** *ἐμβάλλεσθαι*] *ἐπιτίθεσθαι* **AP₁E** || *εἰς αὐτοὺς*] *αὐτοῖς* **AP₁E**.

τοῦ στρατοῦ σου, εἰς ἀγῶνα μέγαν καὶ φόβον ἐμβαίνουσιν, ἐλπίζοντες, ὅτι πλῆθός εἰσι πολὺ οἱ ποιήσαντες τὴν ἐπιδρομὴν κατ᾽ αὐτῶν.

36. *πρόσεχε δὲ τοῦτο, ὅτι οὐ πρέπει χωρὶς | ἀνάγκης, ἵνα ὀλίγον στρατὸν βάλῃς* fol. 25v
φανερῶς εἰς πόλεμον πρὸς πλῆθος πολεμίων μετὰ συντάξεως ὄντων. ἂν δὲ γένηται ἀνάγκη πρὸς τοῦτο, μὴ ταράττῃς ὅλον τὸν στρατὸν φανερῶς ἀπὸ τῶν ἔμπροσθεν, κἂν τάχα περισσότερος ὑπάρχῃ ὁ στρατός σου, ἀλλὰ καὶ ἀπὸ ὀπίσω τῶν ἐχθρῶν καὶ ἀπὸ τῶν πλαγίων, ἵνα ἐπιπίπτωσιν αὐτοῖς.

1372. *πλῆθος εἰσὶ* C.

ἢ δι' ὄψεως μόνον μάχη πρὸς οἱονδήποτε ἔθνος, εἰ καὶ ἔλασσον πλῆθος * ἀντισυνίσταται.[1]

2. Διαιροῦνται τοίνυν πάντα τὰ καβαλλαρικὰ τάγματα εἰς πρώτην καὶ δευτέραν τάξιν ἐν πλήθει μάλιστα στρατοῦ κατὰ τὸν

[1] αὐτῇ συνίσταται M.

CONSTITUTIO XII.

p. 135 M. 37. Καὶ γὰρ ἐπισφαλές ἐστι καὶ ἐπικίνδυνον ἡ δι' ὄψεως μόνον μάχη καὶ πρὸς οἱονδήποτε ἔθνος γινομένη, κἂν τάχα καὶ ὀλιγώτερον πλῆθός ἐστι τὸ ἀντικαθιστάμενον.

38. Οὕτως οὖν ὡς ἐν κεφαλαίῳ κελεύομέν σοι, ἵνα πάντα τὰ καβαλλαρικὰ τάγματα εἰς πρώτην καὶ δευτέραν παράταξιν ἐν καιρῷ πολέμου καταστήσῃς, ὅτ' ἂν μάλιστα καὶ πολὺν στρατὸν ἔχῃς, καὶ διατάξῃς κατὰ τὸν λεχθέντα σοι τρόπον εἰς κούρσωρας ἤγουν προκλάστας, τοὺς ἔμπροσθεν τῆς παρατάξεως πρὸ τῶν

3703. ἐπισφαλής AP_1E || ἐπικίνδυνος AP_1E; cf. *Kühner-Gerth*[3] I. p. 59. || 3703—3704. διόψεως W || 3704. οιονδήποτε MW, οἱονδήποτε AP_1E || 3705. κἂν MAP_1E, κὰν W || πλῆθος ἐστὶ MA, πλῆθος ἐστὶν W, πλῆθος ἡ P_1E || 3707. ἐν τῷ P_1 || -μεν W || 3709—3710. ὅτὰν W || 3711. κούρσορας MW.

37. καὶ γὰρ ἐκκίνδυνόν ἐστιν ἡ γινομένη μάχη φανερῶς, ⟨κἄντε⟩ ἀπὸ τῶν ἔμπροσθεν πρὸς οἷον ⟨δήποτε⟩ ἔθνος γένηται, εἰ μὴ ἔχεις λαὸν ἐκ τῶν πλαγίων, κἄντε ἀπὸ ὄπισθεν
c. 1277 Lami. τῶν πολε|||μίων, κἂν τάχα ὀλιγώτερόν σου στρατὸν ἔχωσιν.

38. οὕτως ἐν συντόμῳ κελεύομέν σοι, ἵνα πάντα τὰ καβαλλαρικὰ τάγματα εἰς πρώτην καὶ εἰς δευτέραν παραταγὴν καταστήσῃς εἰς καιρὸν πολέμου, κατεξαίρετον, ὅταν ἔχῃς καὶ πολὺν στρατόν, καὶ ἵνα χωρίσῃς, ὡς εἴπομεν, εἰς προκουρσάτορας ἤγουν τοὺς ἔμπροσθεν

1370. ἐκκίνδυνον retinui; cf. ex. gr. ἔκθαμβος || -ον ἐστὶν C || 1370. 1380. κἄντε et δήποτε ego inserui || 1380. κἄντε ego, καὶ C || 1382. -μεν σοι C || 1384. προκουρσάτωρας C, -ορας v.

λεχθέντα τρόπον εἰς διφένσωρας, εἰς κούρσωρας, εἰς πλαγιοφύλακας, εἰς ὑπερκεραστάς, εἰς ἐνέδρους, εἰς βοηθούς, εἰς νωτοφύλακας.

CONSTITUTIO XII.

ἄλλων κατὰ τῶν ἐχθρῶν προτρέχοντας καὶ εἰς διφένσωρας ἤγουν τοὺς εὐτάκτως ἱσταμένους καὶ ὑποδέχεσθαι μέλλοντας τοὺς προδραμόντας κατὰ τῶν ἐχθρῶν, ἐὰν μὴ τελείως διώξωσιν αὐτούς, ἀλλ' ἀνθυποστρέψουσιν, ἔτι δὲ καὶ εἰς πλαγιοφύλακας καὶ εἰς ὑπερκεραστὰς ἤγουν τοὺς ἑτοίμως ἱσταμένους εἰς κύκλωσιν τῶν ἐχθρῶν, ἔτι δὲ καὶ εἰς ἐνέδρους ἤγουν ἐγκρύμματα, ἀλλὰ καὶ εἰς βοηθοὺς ἤγουν τοὺς ὄπισθεν τεταγμένους καὶ ἀναστέλλοντας τούς, ὅσοι μέλλουσι φεύγειν τὴν ἰδίαν καταλιμπάνοντες τάξιν, ἔτι δὲ καὶ εἰς νωτοφύλακας ἤγουν τοὺς ὄπισθεν εἰς φυλακὴν τοῦ παντὸς στρατοῦ τεταγμένους.

39. Ἐὰν δὲ πολὺν ἔχωσι στρατὸν καὶ δύνασαι τοι- c. 817.

3713—3714. διφένσορας **MW** || 3714. ἤγουν ἐκδικητὰς (ἐκδικῆτὰς **E**) **AP**$_1$**E** || 3715. προδραμόντας **AE**, προσδραμόντας **MWP**$_1$ || 3716. ἀλλὰ **A** || ἀνθυποστρέψωσιν **AE**, ἀνθ' ὑποστρέψωσιν **P**$_1$ || 3717. εἰς omm. **MWE** || 3718. ἑτοίμους **W** || 3721. ὅσοι μέλλουσι] βουλομένους **AP**$_1$**E** || καὶ τὴν **AP**$_1$**E** || 3721—3722. κατ. τάξιν] τάξιν καταλιμπάνειν **AP**$_1$**E** || 3724. ἔχουσι **A** || δύνη **P**$_1$**E**.

τῆς παραταγῆς πρῶτον παρὰ τοὺς ἄλλους ἐλαύνοντας κατὰ τῶν ἐχθρῶν καὶ εἰς δεφένσορας ἤγουν τοὺς ἱσταμένους ἀπὸ συντάξεως καὶ μέλλοντας ὑποδέχεσθαι τοὺς ἐλαύνοντας πρώτους κατὰ τῶν ἐχθρῶν, κἂν ἄρα μὴ διώξωσιν αὐτοὺς τελείως, ἀλλ' ὑποστρέψωσιν. ἔτι δὲ ἵνα ἀφορίσῃς εἰς πλαγιοφύλακας καὶ εἰς ὑπερκεραστάς· οἱ δὲ ὑπερκερασταί εἰσιν οἱ ἱστάμενοι ἕτοιμοι πρὸς τὸ κυκλῶσαι τοὺς ἐχθρούς. ἔτι δὲ ἵνα ἀφορίσῃς καὶ εἰς ἐγκρύμματα, ἀλλὰ καὶ εἰς βοηθοὺς ἤγουν τοὺς ὀπίσω παρατεταγμένους καὶ κωλύοντας τοὺς θέλοντας φεύγειν καὶ καταλιμπάνειν τὴν τάξιν αὐτῶν. ἵνα δὲ ἀφορίσῃς καὶ εἰς ὀπισθοφύλακας, οἵτινές εἰσιν εἰς φυλακὴν τοῦ ὅλου στρατοῦ ὀπίσω ἀκολουθοῦντες.

39. ἂν δὲ πολὺν ἔχωσι στρατὸν οἱ πολέμιοι καὶ δύνασαι τοιαύτας διπλᾶς παραταγὰς

1385. δεφένσωρας C || 1388. πλέον φύλακας C || -αὶ εἰσὶν C || 1389. ἐγκρύματα C || 1391. οἵτινες εἰσὶν C.

5. *Περὶ βάθους.* Περὶ δὲ τοῦ βάθους τῶν τάξεων ἤρκει μὲν ἑκάστῳ τάγματι κατὰ τὸ ἀρχαῖον σχῆμα, ὡς ἔγραψαν οἱ παλαιοί, εἰς τέσσαρας τὸ βάθος γίνεσθαι, ὡς τοῦ πλείονος τοῦ μέτρου τούτου ἀνωφελοῦς καὶ ἀργοῦ τυγχάνοντος. οὐδὲ γάρ, ὡς ἐπὶ

CONSTITUTIO XII.

αὐτας διπλᾶς παρατάξεις ποιεῖν εἴτε δύο, εἴτε τρεῖς ἢ καὶ πλείονας, ὥστε μεριζομένην τὴν τῶν ἐχθρῶν δύναμιν πρὸς αὐτὰς ὀλιγοτέρων ὄντων ἀσθενεῖς γίνεσθαι [p. 146 M.] τὰς ἐκείνων ἢ προσβαλόντων ὁμοῦ πρὸς μίαν | τῶν σῶν παρατάξεων ὑπὸ τῶν ἄλλων ἢ διώκεσθαι ἢ κυκλοῦσθαι. τοῦτο ἔστι τῶν ἀναγκαίων.

40. Τὸ δὲ βάθος ἤγουν τὸ πάχος τῶν παρατάξεων, καθὼς οἱ ἀρχαῖοι διετάξαντο, ἤρκει μὲν ἑκάστῳ τάγματι εἰς τέσσαρας καὶ μόνους καβαλλαρίους γίνεσθαι, ἐπειδὴ τὸ πλέον τούτων ἀργὸν καὶ ἀνωφελὲς δείκνυται ἐπὶ τῶν καβαλλαρίων, οὔτε γὰρ δύνανται, ὡς ἐπὶ τῆς πεζικῆς

3725. *διπλὰς* **M W A**, *διπλᾶς* **P_1 E** || *β'* **P_1 E** || *γ'* **P_1 E** || 3726. *ὥστε ἡ* **A P_1 E** 3727. *ὀλιγωτέρων ὄντων* omm. **A P_1 E** || *ἀσθενῆ γίνεσθαι* **A**, *ἀσθενὴς γενέσθαι* **P_1 E** || 3728. *τὰς ἐκείνων* omm. **A P_1 E** || *ἢ προσβάλλουσαν* **A**, *ἢ προσβαλοῦσαν* **P_1**, *ἢ πρὸς βαλοῦσαν* **E** || 3730. *τοῦτό ἐστι* **M A P_1**, *τοῦτο ἐστιν* **W**, *τοῦτο ἐστὶ* **E** || *τὸ ἀναγκαῖον* **P_1 E** || 3733. *καὶ μόνους* omm. **A P_1 E** || 3735. *δύναται* **M**.

ποιεῖν δύο ἢ τρεῖς ἢ καὶ περισσοτέρας, ἵνα ἡ χωρισθῇ πρὸς αὐτοὺς ἡ δύναμις τῶν ἐχθρῶν καὶ γένωνται ἀδύνατοι αἱ παραταγαὶ αὐτῶν καὶ συμβάλλωσι πόλεμον ἐν τῷ ἅμα πρὸς μίαν τῶν σῶν παραταγῶν καὶ αἱ λοιπαὶ ἢ ἵνα διώκωσιν ἢ ἵνα κυκλώσωσιν αὐτούς. τοῦτο ἔστιν ἀναγκαῖον.

40. *τὸ δὲ πάχος τῶν παραταγῶν ἤρκει μέν, καθὼς διετάξαντο οἱ ἀρχαῖοι, ἵνα ἔχῃ ἓν ἕκαστον τάγμα τέσσαρας μόνους καβαλλαρίους, ἐπειδὴ τὸ πλέον τούτων ἀργὸν καὶ ἀνωφελές ἐστιν ἐπὶ τῶν καβαλλαρίων· οὐ γὰρ δύνανται οἱ καβαλλάριοι, ὡς ἐπὶ τῆς πεζικῆς*

1395. *ἐντωσιμα* C || 1400. *-ὲς ἐστὶν* C.

τῆς πεζικῆς τάξεως, ἐκ τῶν ὄπιθεν διὰ τοῦ βάθους ὠθισμός τις γενέσθαι δύναται, ἵνα καὶ ἄκοντες οἱ πρωτοστάται τὴν ὁρμὴν ἐπὶ τὰ πρόσωπα ποιοῦνται, ὅτι μὴ πεφύκασιν οἱ ἵπποι μετὰ τῆς ὄψεως αὐτῶν συμφώνως, ὡς οἱ πεζοί, ὠθεῖν τοὺς ἔμπροσθεν. οὔτε δὲ βοήθειά τις περιγίνεται τοῖς πρωτοστάταις, τοῦτ᾿ ἔστι τοῖς εἰς μέτωπον τασσομένοις ἐκ τοῦ πλείονος βάθους, εἴτε κοντάτοι εἰσίν, εἴτε τοξόται, ὡς τῶν μὲν κοντάτων μετὰ τὸν τέταρτον μὴ φθαζόντων ἐφικνεῖσθαι

CONSTITUTIO XII.

τάξεως, ἀπὸ ὄπισθεν διὰ τοῦ πάχους προωθισμὸν ποιεῖν. τότε γὰρ καὶ μὴ βουλόμενοι οἱ ἔμπροσθεν ἐκ τῶν ὄπισθεν προωθούμενοι τὴν ὁρμὴν ἐπὶ τὰ ἔμπροσθεν ποιοῦσι. τοῦτο γὰρ ἐπὶ τῶν πεζῶν γίνεται. οἱ δὲ ἵπποι οὐ δύνανται προωθεῖν τοὺς ἔμπροσθεν αὐτῶν, ὡς οἱ πεζοί, οὐδὲ βοήθειά τις γίνεται ἐκ τῶν περισσοτέρων εἰς τοὺς πρωτοστάτας, τοῦτ᾿ ἔστιν τοὺς εἰς τὸ μέτωπον τασσομένους, κἄντε κονταράτοι εἰσί, κἄντε τοξόται.

41. *Οἱ μὲν γὰρ κονταράτοι, οἱ ὀπίσω τοῦ τετάρτου,*

3736. *ὑπὸ* **E** || *διὰ τοῦ πάχους* omm. **A P$_1$ E** || **3737.** *ὄπισθε* **M** || **3738.** *ἔμπροσθε* **A** || *ποιοῦσιν* **W P$_1$ E** || **3741.** *βοήθεια τίς* **W P$_1$ E** || **3742.** *τοῦτέστιν* **W**, *τουτέστιν* **A P$_1$ E** || **3743.** *κἄντε* (*κάντε* **A**) *κονταράτοι εἰσὶ* (*ὦσι* **P$_1$**), *κἄντε* (*κάντε* **A**) *τοξόται* **A P$_1$ E**, *κἄντε* (*κάντε* **M W**) *τοξόται εἰσί* (*εἰσὶν* **W**), *κἄντε* (*κάντε* **M W**) *κονταράτοι* **M W**.

παραταγῆς, προωθεῖν [οἱ ἔμπροσθεν τοὺς] ὄπισθεν, ὅπερ ποιεῖ τὸ πάχος τῆς παρα|ταγῆς· καὶ εἰς τοὺς πεζοὺς καὶ τοὺς ⟨μὴ⟩ θέλοντας ⟨οἱ⟩ ἔμπροσθεν ⟨ἐκ τῶν ὀπίσω⟩ προωθούμενοι εἰς τὰ ἔμπροσθεν ποιοῦσι τὴν ὁρμὴν πρὸς τοὺς πολεμίους. τὰ δὲ ἱππάρια οὐ δύνανται προωθεῖν τὰ ἔμπροσθεν αὐτῶν, ὡς οἱ πεζοί, οὐδὲ βοήθεια γίνεται ἐκ τοῦ περισσοτέρου πάχους τῆς παραταγῆς ἀπὸ τῶν ὀπίσω εἰς τοὺς ἔμπροσθεν, οἷον τοὺς ἱσταμένους εἰς τὸ μέτωπον τῆς παραταγῆς, εἴτε κονταράτοι, εἴτε τοξόται εἰσί. fol. 26r

41. *καὶ γάρ, ἂν ἔχῃ τὸ πάχος τῆς παραταγῆς ἐπέκεινα τῶν τεσσάρων καβαλλαρίων,*

1401. *οἱ ἔμπροσθεν τοὺς* eieci || **1402.** *μή, οἱ* et *ἐκ τῶν ὀπίσω* inserui || **1402. 1403.** Pro *εἰς τὰ ἔμπροσθεν*, quod ego dedi *εἰς τὰ ὀπίσω* C || **1406.** *κονταράτους* C, recte v.

τῶν ἔμπροσθεν, τῶν δὲ τοξοτῶν εἰς ὕψος ἀναγκαζομένων τοξεύειν διὰ τοὺς ἔμπροσθεν αὐτῶν καὶ ἐντεῦθεν ἀπράκτους κατὰ τῶν ἐχθρῶν ἐν ταῖς συμβολαῖς γίνεσθαι τὰς τούτων σαγίττας. καὶ ὁ ἀμφιβάλλων τούτοις πεισθῇ δι' αὐτῆς τῆς πείρας. ἤρκει γοῦν, ὡς εἴρηται, τὸ βάθος τῶν τεσσάρων καβαλλαρίων· ἀλλ', ἐπειδὴ συμβαίνει τοὺς γενναίους ὀλιγωτέρους κατὰ τάγμα εὑρίσκεσθαι, τοῦτ' ἔστι τοὺς πρωτοστάτας, τοὺς καὶ χεῖρας μιγνύειν ὀφείλοντας, διὰ

CONSTITUTIO XII.

οὐ δύνανται φθάζειν εἰς τὸ ἔμπροσθεν, οἱ δὲ τοξόται εἰς τὸ ἄνω ἀναγκάζονται τοξεύειν διὰ τοὺς ἔμπροσθεν αὐτῶν καὶ διὰ τοῦτο ἄπρακτοι κατὰ τῶν ἐχθρῶν ἐν ταῖς συμβολαῖς τῆς μάχης γίνονται αἱ σαγίτται αὐτῶν, ὡς ἡ πεῖρα διδάσκει καὶ τοὺς ἀμφιβάλλοντας, ἐὰν βούλωνται.

42. Ἤρκει οὖν, καθὼς εἴπομεν, το πάχος τῶν τεσσάρων καβαλλαρίων· ἀλλ', ἐπειδὴ συμβαίνει τοὺς ἀνδρείους στρατιώτας ὀλιγωτέρους κατὰ τάγμα εὑρίσκεσθαι, τοῦτ' ἔστι τοὺς ἔμπροσθεν ἱσταμένους, τοὺς καὶ [τὰς] χεῖρας μιγνύειν πρὸς πόλεμον ὀφείλοντας, διὰ τοῦτο πρέπον

3745. τὸ] τοὺς **P₁ E** || **3748. M W** post *γίνονται* insérunt *ὡς* || *σαγίται* **A**, *σαγίτες* **P₁ E** || *πειρα* **W** || **3749—3750.** Verba *καὶ* . . . . *βούλωνται* omm. **A P₁ E** || **3753—3754.** *τοῦτέστι* **M**, *τοῦτέστιν* **W**, *τουτέστι* **A P₁ E** || **3754.** *καὶ* omm. **P₁ E** || *τὰς* eieci.

οὐ δύναται ὁ ἱστάμενος ὀπίσω τῶν τεσσάρων καβαλλαρίων κονταράτος φθάνειν ἔμπροσθεν μετὰ τοῦ κονταρίου, ὁ δὲ τοξότης πάλιν, ὁ ἱστάμενος ὀπίσω τῶν καβαλλαρίων, ἀναγκάζεται διὰ τοὺς ἱσταμένους ἔμπροσθεν αὐτῶν ἵνα τοξεύῃ εἰς ὕψος καὶ διὰ τοῦτο οὐδὲν ἐνεργοῦσιν αἱ σαγίται αὐτῶν.

42. ἤρκει γοῦν, ὡς εἴπομεν, τὸ πάχος τῶν τεσσάρων καβαλλαρίων· ἀλλ', ἐπειδὴ οἱ ἀνδρειότεροι στρατιῶται ὀλιγώτεροι κατὰ τὰ τάγματα εὑρίσκονται (ἐκεῖνοι γὰρ εὑρίσκονται

τοῦτο χρὴ πρὸς τὴν τῶν ταγμάτων ποιότητα τὰ βάθη ὁρίζειν, οἷον· εἰς τὰ φοιδερατικά, τὰ καὶ μέσον ἐν τῇ προμάχῳ τάξει τασσόμενα, ἀπὸ ἑπτὰ ποιεῖν καὶ ἑνὸς παιδός, ἐὰν εὑρίσκωνται ἐν δυνάμει ἐν αὐτοῖς, οὕτως καὶ τῶν δεκαρχιῶν εἶναι ὀφειλουσῶν· ἀριστερᾷ * αὐτῶν τὰ τῶν βιξελλατιόνων ἀριθμῶν, ἀπὸ ἑπτὰ ἀνδρῶν ἑκάστην δεκαρχίαν, ἐν δεξιᾷ τὰ τῶν Ἰλλυρικιανῶν, ἀπὸ ἀνδρῶν

CONSTITUTIO XII.

ἐστὶ πρὸς τὴν δύναμιν τῶν ταγμάτων οὕτως ὁρίζειν [p. 147. M.]
καὶ τὸ πάχος τῆς παρατάξεως αὐτῶν, οἷον·

43. εἰς τὰ ἀνδρειότερα, τὰ καὶ μέσον τασσόμενα 43.
τάγματα εἰς τὴν τάξιν τὴν πρόμαχον, ἀπὸ ἑπτὰ καβαλλαρίων ποιεῖν καὶ ἑνὸς παιδὸς ὑπηρέτου αὐτῶν, ἐν δὲ τῇ ἀριστερᾷ τάξει, ἐν ᾗ καὶ ἐκεῖ δεύτεροι κατὰ τὴν ἀνδρίαν τῆς προμάχου τάξεως ὀφείλουσι τάσσεσθαι, ἀπὸ ἑπτὰ ἀνδρῶν ἑκάστην δεκαρχίαν, πάλιν ἐν δεξιᾷ, 44.
ἐν ᾗ καὶ ἐκεῖ ἰσοδύναμοι ἄνδρες τῆς ἀριστερᾶς ὀφεί-

3756. ἐστιν **W** || 3756—3757. Verba οὕτως . . . . . αὐτῶν om. $\mathbf{P_1}$ || 3757. In **W** § 43 verbo οἷον incipit || 3759. ζ **M W** || 3762. κατατάσσεσθαι $\mathbf{AP_1E}$ || 3763. ζ **M W** || 3764. καὶ ἐκεῖ omm. $\mathbf{AP_1E}$.

ἀνδρεῖοι μόνοι οἱ ⟨ἔμπροσθεν⟩ ἱστάμενοι καὶ πολεμοῦντες), ἁρμόζει, ἵνα πρὸς τὴν δύναμιν τῶν ταγμάτων ποιῇς τὸ πάχος τῆς παραταγῆς αὐτῶν ἤγουν·

43. εἰς τὰ ἀνδρειότερα τάγματα, τὰ καὶ ἱστάμενα μέσον τοῦ ἀριστεροῦ καὶ τοῦ δεξιοῦ εἰς τὴν πρώτην παραταγήν, ἵνα ποιῇς τὸ πάχος τῆς παραταγῆς ἀπὸ ἑπτὰ καβαλλαρίων καὶ ἑνὸς παιδὸς ὑπουργοῦ αὐτῶν· εἰς δὲ τὴν ἀριστερὰν παραταγήν, ἔνθα ὀφείλουσιν ἵστασθαι οἱ ὄντες δεύτεροι εἰς ἀνδρείαν ἀπ᾽ ἐκείνων τῶν ἱσταμένων εἰς τὴν μέσην, ἵνα ποιήσῃς ὁμοίως τὸ πάχος ἀπὸ καβαλλαρίων ἑπτά· εἰς δὲ τὴν δεξιὰν παραταγήν, ἔνθα ὀφείλουσιν ἄνδρες ἵστασθαι ἰσοδύναμοι τῆς ἀριστερᾶς, ἵνα ποιήσῃς τὸ πάχος ἀπὸ καβαλλαρίων

1414. ἔμπροσθεν inserui.

ὀκτώ, οὕτως καὶ τῶν δεκαρχιῶν ὀφειλουσῶν ἔχειν· τὰ δὲ λοιπὰ τάγματα ὑποδεέστερα ἀπὸ ὀκτὼ ἢ δέκα ἀνδρῶν γίνεσθαι, πρὸς τὰς δεκαρχίας τασσόμενα. εἰ μέντοι συμβῇ ἐκ τῶν ὑποδεεστέρων τούτων ταγμάτων ἐν πρώτῃ τάξει τάσσεσθαι, ἢ ἀπὸ ὀκτὼ ἢ ἀπὸ δέκα ποιεῖν ὡς ἀσθενέστερα. τὰ μέντοι τῶν ὀπτιμάτων τάγματα, ὡς ἐν δευτέρᾳ τάξει τασσόμενα καὶ ἐν ἐπιλογῇ ὄντα, ἀπὸ πέντε μὲν στρατιωτῶν, δύο δὲ ἁρμάτων ποιεῖν, † δέκα ἄνδρας τῆς δεκαρχίας ὀφεί-

CONSTITUTIO XII.

λουσιν εἶναι, ἀπὸ ἀνδρῶν ὀκτώ, τὰ δὲ λοιπὰ καὶ ὑποδεέστερα τάγματα ἀπὸ ὀκτὼ ἢ δέκα ἀνδρῶν γίνεσθαι, πρὸς τὰς δεκαρχίας τασσόμενα.

44. *Ἐὰν μέντοι συμβῇ, ἵνα ἐκ τῶν ὑποδεεστέρων τούτων ταγμάτων εἰς τὴν πρώτην παράταξιν ἐκτάξῃς, ἢ ἀπὸ ὀκτὼ ἢ ἀπὸ δέκα ποιήσῃς ἀνδρῶν ὡς ἀσθενεστέρων. τὰ δὲ τάγματα, τὰ ἐν δευτέρᾳ τάξει τασσόμενα καὶ ἐπίλεκτα ὄντα, ἀπὸ πέντε μὲν στρατιωτῶν καὶ ἑτέρων ὑπηρετῶν εἰς τὰ † ἅρματα ποιήσεις, ὥστε † δέκα*

3765. *εἶναι* omm. **MW** || *ὀκτώ*] *Η* **M**; in **W** suprascriptum a m. sec. *ζ*; *ἑπτὰ τάσσειν* habent **AP₁E** || 3766. *πράγματα* **M** et **Meursii codex tert.**; in cod.-is **W** *τάγματα* prima littera in duarum litterarum ras. || *Η* **ME**, *ἡ* **W** || 3768. *πάλιν ἐὰν μ.* **AP₁E** || 3770. *ἡ* **W** *Η* **E** || *ι* **MWP₁E** || *ποιήσεις* **AP₁E** || 3771. *τὰ* secundum omm. **P₁E** || *ἐν τῇ* **AP₁E** || 3772. *ε* **P₁E** || *μὲν* om. **P₁** || 3773. *ἅρματα* **MWAE** || *ι* **P₁**.

ἑπτά. τὰ δὲ λοιπὰ καὶ ὑποδεέστερα τάγματα ἵνα ποιῇς τὸ πάχος ἀπὸ ὀκτὼ ἢ δέκα καβαλλαρίων.

44. *ἂν δὲ συμβῇ, ἵνα στήσῃς εἰς τὴν πρώτην παραταγὴν ἐκ τῶν ὑποδεεστέρων τούτων ταγμάτων, ἵνα ποιήσῃς τὸ πάχος ἀπὸ ὀκτὼ ἢ δέκα καβαλλαρίων, διότι ὑποδεέστερά εἰσιν, ὡς εἴρηται, καὶ ἀδύνατα τὰ τοιαῦτα τάγματα. τὰ δὲ τάγματα, τὰ ἱστάμενα εἰς τὴν δευτέραν παραταγήν, τὰ ὄντα ἐπίλεκτα, ἵνα ἔχωσι τὸ πάχος ἀπὸ πέντε καβαλλαρίων στρατιωτῶν καὶ ἀπὸ πέντε ὑπουργῶν εἰς τὰ ἅρματα αὐτῶν, πρὸς τὸ ἔχειν μίαν ἑκάστην*

1425. -ρα εἰσιν C.

λούσης ἔχειν. ταῦτα δὲ ἐν τῇ πρώτῃ τάξει, εἰ συμβῇ τάσσεσθαι, ὡς εἴπομεν, ἀεὶ τὸ βάθος οὕτως ἔχειν. τοὺς δὲ ἐθνικούς, ἐὰν καθ᾽ ἑαυτούς εἰσιν, ὡς ἔθος ἔχουσιν, οὕτως τάσσειν. οὗτοι δε ἐπιτηδείως εἴς τε κούρσωρας καὶ ἐνέδρους καθίστανται. οὐδὲ οὖν τῶν ὀκτὼ ἢ τὸ πολὺ δέκα ἀνδρῶν πλεῖον χρὴ εἰς βάθος ποιεῖν, ὡς δήποτε, ἂν ἀσθενῆ ὦσι τὰ τάγματα, οὐδὲ τῶν πέντε ἧττον, ὡς ἂν εἰσιν ἐπίλεκτα, ὥστε διὰ τοῦ ῥηθέντος τρόπου καὶ τῆς τοιαύτης ἀναλογίας

CONSTITUTIO XII.

ἄνδρας ἑκάστην δεκαρχίαν ἔχειν. οὗτοι δὲ οἱ, ὡς εἴρηται, τεταγμένοι ἵνα κατασταθῶσιν ἐπιτηδείως εἴς τε κούρσωρας καὶ ἐγκρύμματα.

45. Οὐκ ἔστιν οὖν πρέπον τῶν ὀκτὼ ἢ τὸ πολὺ τῶν 46.
δέκα ἀνδρῶν πλεῖον τὸ πάχος ποιεῖν τῆς παρατάξεως, κἂν τὸ πάνυ εἰσὶν ἀσθενῆ τὰ τάγματα, οὐδὲ τῶν || πέντε c. 820.
ὀλιγώτερον, ὅσον ἂν εἰσὶν ἐπίλεκτα, ὥστε πρέπον ἐστὶ κατὰ τὸν εἰρημένον τρόπον καὶ τὴν τοιαύτην διαίρεσιν

3774. *οἱ* omm. **P$_1$E** || **3775—3776.** *κούρσορας* **MW** || **3777.** *Οὐκέστιν* **W** (*ν* a m. sec. add.) || *Η* **MP$_1$E,** *η̄* **W** || *τῶν* omm. **AP$_1$E** || **3778.** *πλείω* **M** (cf. **2736.**), *πλέον* **AP$_1$E,** qui post *πρέπον* exhibent verbum; *πλεῖον* fecit m. sec. cod.-is **W** ex *πλείω.* || **3779.** *κᾶν* **M,** *κὰν* **W** || *τὸ* omm. **WAP$_1$E** || *ὦσιν* **P$_1$E** || *τὰ* om. **A** || *ε* **MWP$_1$E** || **3780.** *ὀλιγώτερον* ego, *ὀλιγωτέρους* codd. || *εἰσὶν* **MWA,** *εἴσιν* Migne, *εἶεν* **P$_1$,** *εἶ ἐν* **E** || *ἔστιν* **W,** *ἐστὶν* **AP$_1$E.**

δεκαρχίαν ἄνδρας δέκα. οὗτοι δὲ ἵνα παρατάξωσιν οὕτως, ὡς εἴρηται, καὶ ἵνα κατασταθῶσι ἁρμοδίως ⟨εἰς⟩ προκουρσάτορας καὶ εἰς ἐγκρύμματα, [οἱ δὲ προκουρσάτορές εἰσιν οἱ ἐλαύνοντες κατὰ τῶν ἐχθρῶν πρῶτον | παρὰ τοὺς ἄλλους]. fol. 26v

45. *οὐ πρέπει δέ, ἵνα πλέον τῶν ὀκτὼ ἢ τὸ πολὺ δέκα ἀνδρῶν ποιῇ τὸ πάχος τῆς παραταγῆς, καὶ εἰ ἀδύνατά εἰσι πολὺ καὶ ἄνανδρα τὰ τάγματα, οὐδὲ πάλιν † ὀλιγωτέρων τῶν πέντε καβαλλαρίων ὀφείλει ἔχειν τὸ πάχος τῆς παραταγῆς, οἷα ἂν καὶ ὦσιν ἐπίλεκτα τὰ τάγματα, ὥστε οὕτως ἁρμόζει χωρίζεσθαι τὰ τάγματα καὶ γίνεσθαι καὶ τὸ πάχος*

1430. *εἰς* inserui || *προκουρσάτωρας, — ἐγχρύματα, — -τωρες εἰσὶν* **C** || **1430. 1431.** Verba interpolata esse videntur || **1433.** *ὀλιγωτέρον* v?

ἀρκούντως καὶ τὰ βάθη γίνεσθαι καὶ μηδὲ τὸ μῆκος τῆς πρώτης παρατάξεως ἤτοι τὸν ἀριθμὸν τῶν πρωτοστατούντων ἐλαττοῦσθαι πολύ, † ὃ γάρ[1] *μέχρι τοῦ παρόντος ἀδιακρίτως ἐγένετο ἀπὸ δέκα πάντων τῶν ταγμάτων ἴσως τασσομένων, ὥστε καὶ ἐν ταῖς * ἀρμαστατιῶσιν εὐχερῶς καὶ συντόμως ὑπὸ κατασκόπων ἀριθμεῖσθαι διὰ τῶν πρωτοστατῶν ὅλον τὸν στρατόν, ὡς νομίμου ὄντος τοῦ βάθους.*

[1] Legendum censeo ὅπερ.

CONSTITUTIO XII.

[p. 148. M.] | *ἀρκούντως καὶ τὰ βάθη ἤγουν τὰ πάχη τῶν παρατάξεων γίνεσθαι καὶ μηδὲ τὸ μῆκος ἤγουν τὸν ἀριθμὸν τῶν πρωτοστατούντων ὀλιγοῦσθαι πολύ.*

47\. 46. *Ἐὰν γὰρ ἀπὸ δέκα ἀνδρῶν τὸ πάχος τῶν ταγμάτων ὅλων ἐν ἴσῳ μέτρῳ τάξῃς, εὐχερῶς καὶ συντόμως ὑπὸ τῶν κατασκόπων τῶν ἐχθρῶν ἀριθμεῖσθαι ποιήσεις διὰ τῶν πρωτοστατῶν ὅλον σου τὸν στρατόν, ὅπερ οὐ δέον μανθάνειν τοὺς ἐχθρούς.*

3783. *μηδὲ* **W**, *μὴ δὲ* **M** || **3784—3786.** Verba inde ab *ὀλιγοῦσθαι* usque ad *ταγμάτων* om. **P₁** || **3784.** *ἐπιπολὺ* **A**, *ἐπὶ πολὺ* **E** || **3785.** *ἴ* **E** || **3786.** *ἰσομέτρω* **P₁E** || *εὐκόλως* **AP₁E** || **3787.** *και τῶν ἐχθρῶν* **MW** || **3788.** *πρωτοστάτων* **W.**

τῶν παραταγῶν, καθὼς εἴπομεν, καὶ μηδὲ τὸ μῆκος τῶν παραταγῶν, οἷον τὸ ἅπλωμα καὶ τὸ μέτωπον αὐτῶν, γίνεσθαι ὀλίγον πολύ.

46\. *διὰ τοῦτο δὲ καὶ οὐκ ὀφείλουσιν ἔχειν αἱ παραταγαὶ ὅλαι ἀπὸ δέκα καβαλλαρίων τὸ πάχος, ἀλλὰ ἄλλαι πλέον, ἄλλαι ὀλιγώτερον, διὰ τὸ μὴ συντόμως καὶ εὐκόλως ὑπὸ τῶν κατασκόπων τῶν ἐχθρῶν μετρεῖσθαι ὅλον τὸν στρατόν. καὶ γάρ, ἂν ἔχωσιν ἀπὸ δέκα καβαλλαρίων οἱ ὄρδινοι, εὐκόλως μετρεῖ, ὅστις θέλει, τὸν στρατὸν ὅλον ἐκ μόνων τῶν ἱσταμένων ἔμπροσθεν εἰς τὸ μέτωπον τῆς παραταγῆς, ὅπερ οὐκ ἔνι δέον μανθάνειν τοὺς ἐχθρούς, τοῦτ' ἔστι, τὸ πόσον στρατὸν ἔχεις.*

1442. *ἔνι*] cf. *Dieterich* 225. || **1443.** *ἔχει* C, *ἔχεις* v.

ταύτης ἄρτι τῆς ἀναλογίας φυλαττομένης· ἐκ τοῦ περιποιουμένου ποσοῦ ἡ δευτέρα καθίσταται τάξις.

Urbicii II. 6 [cf. tomi I. p. 67.]. *Περὶ κουντουβερνίων.* Τὰ κουντουβέρνια ἀπὸ παλαιῶν καὶ νέων γίνεσθαι ἀναλόγως, ἵνα μὴ οἱ παλαιοὶ καθ' ἑαυτοὺς τασσόμενοι ἀσθενεῖς ὦσι, μηδὲ οἱ νεώτεροι ἄτακτοι εὑρεθῶσιν, ὡς ἄπειροι.

7. *Περὶ ὁπλίσεως.* Περὶ δὲ τῆς τῶν ὅπλων διαφορᾶς δεῖ τὸν μὲν πρωτοστάτην τῆς πρώτης τάξεως καὶ τὸν μετ' αὐτόν, τοῦτ'

CONSTITUTIO XII.

47. Τῆς δὲ εἰρημένης ἡμῖν ἀναλογίας ἤγουν τοῦ 48.
μέτρου φυλαττομένου ἐκ τοῦ περισσεύοντος στρατοῦ τὴν δευτέραν καταστήσεις τάξιν.

48. Κελεύομεν δέ σοι καὶ τὰ κουντουβέρνια τῶν 49.
στρατιωτῶν ἀπὸ παλαιῶν καὶ νέων γίνεσθαι ἀναλόγως, ἵνα μὴ οἱ παλαιοὶ μόνοι τασσόμενοι καθ' ἑαυτοὺς ἀσθενεῖς ὦσι, μηδὲ οἱ νεώτεροι ἄτακτοι εὑρεθῶσιν, ὡς ἄπειροι.

49. Ὁπλίσεις δὲ τὴν παράταξιν οὕτως· τὸν μὲν πρω- 50.
τοστάτην τῆς πρώτης τάξεως καὶ τὸν μετ' ἐκεῖνον ἱστά-

3790. δὲ om. **P**₁ || ὑμῖν **MW** || **3791.** μέτρου, φυλαττομένης **Migne**; cf. *Kühner-Gerth*³ I. p. 80. || **3793.** κουτουβέρνια **M**, κοντουβέρνια ceteri || **3796.** ὦσι **P**₁**E**, εἰσὶν **MA**, εἰσιν **W** || μὴ δε **W**, μηδὲ **AP**₁**E**.

47. ἀφ' ἧς δὲ καταστήσεις τὴν πρώτην παραταγὴν καὶ ποιήσεις αὐτὴν εἰς τρία μέρη καὶ τάξεις εἰς αὐτὴν λαόν, ὅσον εἴπομεν, τότε ἐκ τοῦ περιττεύοντος στρατοῦ ἵνα καταστήσῃς καὶ τὴν δευτέραν.

48. ὀφείλεις δὲ καὶ τὰ κουντουβέρνια τῶν στρατιωτῶν ἀπὸ παλαιῶν καὶ νέων ποιεῖν πρὸς τὸ πλῆθος τῶν παλαιῶν στρατιωτῶν καὶ νέων, ἵνα μήτε οἱ παλαιοὶ μόνοι ὄντες ἀδύνατοι ὦσι, μήτε οἱ νέοι πάλιν [μόνοι] ἄτακτοι εὑρίσκωνται, ὡς ἄπειροι.

49. τὴν δὲ παραταγὴν ἐξόπλισε οὕτω· τὸν μὲν ἱστάμενον ἔμπροσθεν εἰς τὸ μέτωπον τῆς πρώτης παραταγῆς καὶ τὸν ἱστάμενον ἀπ' ἐκείνου τὸν δεύτερον, ἀλλὰ καὶ τὸν ἱστά-

1444. ἀφ' ἧς] cf. *Preuschen* 825. || **1449.** μόνοι eieci || **1450.** ἐξόπλισε] cf. *Psaltes* 212. || **1451.** ἀπ' ἐκείνου] cf. *Leo* vs. 2544.

ἔστιν τὸν δεύτερον καὶ τὸν οὐραγὸν κοντάτους εἶναι, τοὺς δὲ λοιποὺς πάντας, τοὺς ἐν μέσῳ τασσομένους, ὅσοι τοξεύειν οἴδασιν, ἀρκάτους σκουταρίων χωρίς. οὐδὲ γὰρ δυνατόν ἐστι δεόντως πρακτεύειν τινὰ τόξον ἐπάνω ἵππου ἐν τῇ ἀριστερᾷ σκουταρίου κατεχομένου καὶ τόξου.

CONSTITUTIO XII.

μενον, τοῦτ᾽ ἔστι τὸν δεύτερον, ἔτι δὲ καὶ τὸν ἑστῶτα ὀπίσω πάντων ἤγουν τὸν οὐραγὸν κονταράτους ποιήσεις μετὰ τῆς λοιπῆς αὐτῶν ἐξοπλίσεως, τοὺς δὲ λοιποὺς πάντας, τοὺς ἐν μέσῳ ἐκείνων τασσομένους, ὅσοι τοξεύειν οἴδασι, χωρὶς † κονταρίων εἶναι ποιήσεις. οὐδὲ γὰρ δυνατόν ἐστι δεόντως περιάγειν τινὰ τόξον ἐπάνω ἵππου, ἐὰν ἐν τῇ ἀριστερᾷ αὐτοῦ καὶ τὸ σκουτάριν κατέχῃ καὶ τὸ τόξον· εἰ δὲ γυμνασθῇ ὁ στρατιώτης, ὥστε, ἡνίκα
[p. 149. M.] τοξεύει, ὀπίσω κατὰ τοῦ νώτου εὐφυῶς πέμπειν | τὸ σκουτάριν, οὐδὲ τοῦτο ἄχρηστον ἡμῖν καταφαίνεται.

3800. *τοῦτ ἔστι* **M**, *τουτέστιν* **WA**, *τουτέστι* P_1, *τοῦτέστι* **E** || 3802. *αὐτῶν* om. **A**, *αὐτῆς* P_1**E** || 3804. *οἴδασιν* **W** || 3805. *ἐστιν* **W**, *ἔστιν* **A** || 3806. *σκουτάριον* **A**P_1**E** || *κατέχει* P_1**E** || 3807. *γεγύμνασθη* **E**, *γεγύμνασθαι* P_1 || 3808. *τοξεύῃ* **MW** || *ὀπίσω κατὰ τοῦ* omm. **MW**; habet **Meursii codex tert.** || *πέμπῃ* **MW**, *πέμπει* **Meursii codex tert.**, *παραπέμπειν* **A**P_1**E** || 3809. *σκουτάριν* ego, *σκουτάριον* (*σκουταριον* **W**), codd.

μενον πάλιν ὀπίσω πάντων εἰς τὴν οὐρὰν τοῦ ὀρδίνου ἵνα ποιήσῃς κονταράτους μετὰ τῆς λοιπῆς αὐτῶν ἐξοπλίσεως, οἱ δὲ λοιποὶ πάντες, οἱ ἱστάμενοι μέσον αὐτῶν, ὅσοι ἔμαθον τοξεύειν, στηκέτωσαν χωρὶς κονταρίων. οὐ γὰρ δύναται ὁ καβαλλάριος περιάγειν, ὡς πρέπει, τὸ τοξάριον αὐτοῦ ἐπάνω τοῦ ἱππαρίου, ἂν κρατῇ εἰς τὴν ἀριστερὰν αὐτοῦ χεῖρα καὶ τὸ κοντάριον καὶ τὸ τόξον. ἂν δὲ γυμνασθῇ ὁ στρατιώτης οὕτως, ἵνα, ὅτ᾽ ἂν τοξεύῃ, ἀπολύῃ εὐφυῶς τὸ σκουτάριον ὀπίσω εἰς τὴν ῥάχιν αὐτοῦ, χρήσιμον καὶ τοῦτό μοι καταφαίνεται.

1456. *κοντάριον*] emendavit recensionis auctor propter *κονταρίων* (1454.) || 1457. *ῥάχιν* C || *τοῦτο μοι* C.

8. *Περὶ δηποτάτων.* Πρὸς τούτοις δεῖ ἀφορίσαι τῇ προμάχων μάλιστα τάξει τοὺς λεγομένους δηποτάτους ἐκ τῶν ὑποδεεστέρων στρατιωτῶν, ὀκτὼ ἢ δέκα ἄνδρας καθ᾽ ἕκαστον βάνδον ἐκ τοῦ αὐτοῦ τάγματος, εὐπλήκτους, κούφους τε καὶ εὐσταλεῖς, ἄνευ ὅπλων, ὀφείλοντας ὄπισθεν ὡς ἀπὸ ἑκατὸν ποδῶν τοῖς ἰδίοις τάγμασιν ἀκολουθεῖν καὶ τούς, ὡς εἰκός, ἐν ταῖς συμπλοκαῖς τραυ-

CONSTITUTIO XII.

50. Πρὸς τούτοις κελεύομέν σοι, ὦ στρατηγέ, ἵνα 51.
ἀφορίσῃς καὶ μάλιστα εἰς τὴν πρόμαχον παράταξιν τοὺς λεγομένους δεποτάτους, τοῦτ᾽ ἔστι τοὺς ἐπιμελητὰς τῶν τραυματιζομένων στρατιωτῶν· καὶ καταστήσεις ὀκτὼ ἢ δέκα ἄνδρας καθ᾽ ἕκαστον βάνδον ἐκ τοῦ αὐτοῦ τάγματος ἐλαφροὺς καὶ γοργοὺς ἄνευ ὅπλων, τοὺς ὀφείλοντας ὄπισθεν ὡς ἀπὸ ἑκατὸν ποδῶν τοῖς ἰδίοις τάγμασιν ἀκολουθεῖν, ἵνα τοὺς ἐν ταῖς συμπλοκαῖς τοῦ πολέμου, ὡς πολλάκις γίνεται, τραυματιζομένους ἐπι-

3812. *διποτάτους* **AP$_1$E**; v. adpar. ad. vs. **794.** || *τοῦτ᾽ ἔστι* **M**, *τοῦτ᾽ ἔστι* **E**, *τουτέστιν* **WA**, *τουτέστι* **P$_1$** || **3813.** *καταστήσῃς* **A** || **3814.** *Η* **P$_1$E** || *ἢ καὶ* **P$_1$** || *καθέκαστον* **MW** || **3815.** *ὅπλον* **MW** || **3816.** *ἕκαστον* **E** || **3817.** *ἐπακολουθεῖν* **AP$_1$E.**

50. *χώρισον δὲ καὶ τοξότας εἰς τὴν πρώτην παραταγὴν καὶ τοὺς λεγομένους δεποτάτους. οὗτοι δέ εἰσιν οἱ ὀφείλοντες ἐπιμελεῖσθαι | τοὺς ⟨τραύματα⟩ λαμβάνοντας εἰς τὸν πόλεμον* fol. 26r
στρατιώτας. καὶ ἀφορίσῃς κατὰ τὸ ἕκαστον βάνδον ὀκτὼ ἢ δέκα ἄνδρας ἐκ τοῦ αὐτοῦ τάγματος ἐλαφροὺς καὶ γοργούς, οἵτινες οὐκ ὀφείλουσι βαστάζειν ἄρματα, ἀλλ᾽ ἵνα περιπατῶσιν ὡς ἀπὸ ἑκατὸν ποδῶν ὀπίσω τοῦ τάγματος, κἂν πληγῶσί τινες εἰς τὴν συμβολὴν τοῦ πολέμου ἐπικινδύνως καὶ ἂν πέσωσιν ἀπὸ τῶν ἱππαρίων αὐτῶν καὶ οὐ δύνωνται πολε-

1458. *δεποτάτους* ita, ut pro *δεσποτάτους* possit legi || 1459. *τραύματα* inserui || 1461. *ἅρματα* C || 1462. *-σι τινὲς* C.

*ματιζομένους ἐπικινδύνως ἢ ἐκπίπτοντας τῶν ἵππων καὶ ἀπομάχους γινομένους ἀναλέγεσθαι καὶ περιποιεῖσθαι, ἵνα μὴ καταπατοῦνται ὑπὸ τῆς δευτέρας τάξεως ἢ καὶ ἐξ ὀλιγωρίας τῶν τραυμάτων διαφθείρωνται· καὶ λαμβάνειν ὑπὲρ μισθοῦ ἀπὸ τοῦ σακελλίου καθ' ἕκαστον πρόσωπον διασωζόμενον παρ' * αὐτῶν νόμισμα ἕν. εἶτα δὲ μετὰ τὸ τὴν δευτέραν τάξιν παρελθεῖν καὶ τραπῆναι τοὺς ἐχθροὺς*

CONSTITUTIO XII.

κινδύνως ἢ ἐκπίπτοντας ἀπὸ τῶν ἵππων καὶ μὴ δυναμένους μάχεσθαι ἀναλέγωνται καὶ περιποιοῦνται, ἵνα μὴ καταπατοῦνται ὑπὸ τῆς δευτέρας παρατάξεως οἱ ἀληθῶς γενναῖοι στρατιῶται καὶ ἐκ τῆς ὀλιγωρίας τῶν τραυμάτων διαφθείρωνται· καὶ ἵνα οἱ διασῴζοντες αὐτοὺς λαμβάνωσιν ὑπὲρ μισθοῦ ἀπὸ τοῦ ταμιείου τῆς βασιλείας ἡμῶν κατὰ ἕνα ἕκαστον στρατιώτην διασωζόμενον παρ' αὐτῶν νόμισμα ἕν.

52. **51.** *Εἶτα δὲ οἱ τοιοῦτοι μετὰ τὸ τραπῆναι τοὺς ἐχθροὺς καὶ παρελθεῖν τὴν δευτέραν παράταξιν τότε*

3820. *ἀναλέγονται* **Meursii codex tert.**, *ἀναλαμβάνωνται* **A**, *ἀναλαμβάνονται* **P₁ E** || *περιποιοῦνται* Meursii codex tert., *περιποιῶνται* **MWAP₁**, *περὶ ποιῶνται* **E** || **3821.** *καταπατοῦνται* Meursii codex tert., *καταπατῶνται* **MWAP₁E** || **3823.** *διασῴζοντες* **P₁** || **3824.** *ταμείου* **AP₁E**; cf. *Stein* Studien zur Gesch. des byzant. Reiches (Stuttgart 1919) p. 164. || **3825--3826.** *διασωζόμενοι* **P₁E** || $\overset{o}{\nu}$ **M**, $\overset{o}{\nu}$ **P₁** || **3827.** *Εἶτα δὲ οἱ τοιοῦτοι*] *οἱ δὲ αὐτοὶ* **AP₁E** || **3828.** *καὶ* om. **P₁**.

μεῖν, ἵνα ἀναλέγωνται καὶ περιποιῶνται αὐτοὺς πρὸς τὸ μὴ καταπατεῖσθαι ὑπὸ τῆς δευτέρας παραταγῆς καὶ ὀλιγωρεῖν ὑπὸ τῶν πληγῶν καὶ ἀποθνήσκειν. ἵνα δὲ λαμβάνωσιν ἀπὸ τοῦ c. 1281 Laml. *βασιλικοῦ φύλακος οἱ δια|||σῴζοντες αὐτοὺς κατὰ ἕνα ἕκαστον στρατιώτην διασῳζόμενον παρ' αὐτῶν νόμισμα ἕν.*

51. *ὀφείλουσι δὲ οἱ αὐτοί, ἀφ' οὗ τρέπωσιν οἱ ἐχθροὶ καὶ διαβῇ καὶ ἡ δευτέρα*

1466. *διασώζοντες* et *διασωζόμενον* C; sed cf. vs. 561.

τὰ σκύλα τῶν εὑρισκομένων ἐν τῷ τόπῳ τῆς πρώτης συμβολῆς αὐτοὺς συνάγειν καὶ τοῖς δεκάρχαις ἤτοι πρωτοστάταις τοῦ ἰδίου τάγματος διδόναι, εἰς παραψυχὴν μοῖράν τινα καὶ αὐτοὺς ὑπὲρ τούτου παρὰ τῶν δεκάρχων λαμβάνοντας. τοῦτο γὰρ τοῖς πρωτοστάταις ἐν ταῖς μάχαις πριβιλέγιον δίκαιον καὶ ἁρμόδιον ἐν ταῖς ἐπιτυχίαις ἔχειν νομίζομεν, καϑὸ πλέον τῶν λοιπῶν τῆς ἀνάγκης μετέχουσιν ἐν τῇ πρώτῃ συμβολῇ, εἶτα δὲ ἐντεῦϑεν μήτε γίνεσϑαι

CONSTITUTIO XII.

τὰ σκύλα τὰ εὑρισκόμενα ἐν τῷ τόπῳ τῆς πρώτης συμβολῆς αὐτοὶ συνάγουσι καὶ τοῖς δεκάρχαις ἤγουν τοῖς πρωτοστάταις τοῦ ἰδίου τάγματος μετὰ τὸ λυϑῆναι τὴν μάχην παρέχουσιν αὐτά. λαμβάνουσι δὲ καὶ αὐτοὶ ὑπὲρ τούτου παρὰ τῶν δεκάρχων εἰς παραμυϑίαν αὐτῶν μοῖράν τινα. τοῦτο γὰρ τοῖς πρωτοστάταις ἐν ταῖς μάχαις προνόμιον δίκαιον καὶ | ἁρμόδιον ἐν ταῖς ἐπιτυχίαις [p. 150. M.]
ἔχειν κελεύομεν, καϑ‖ότι πλέον τῶν λοιπῶν τῆς ἀνάγ- c. 821.
κης μετέχουσιν ἐν τῇ πρώτῃ συμβολῇ τοῦ πολέμου.

3829. *τὰ σκύλα* (*σκῦλα* **Meursii codex tert.**) omm. **A P_1 E**; in **W** in mge legitur: *τὰ τῶν ἐχϑρῶν ὅπλα τὲ και λοιπὰ πραγματα;* *ὅπλα* inserunt **A P_1 E** post *εὑρισκόμενα* ‖ **3830.** *αὐτοὶ* omm. **A P_1 E** ‖ *συνάγωσι* **A P_1 E** ‖ *δεκάρχαις* **P_1 E** et **Meursii codex tert.**, *δεκάρχοις* **M W A** ‖ **3832.** *παρέχωσιν* **A P_1 E** ‖ *λαμβάνωσι* **A P_1 E** ‖ **3833—3834.** *μοίραν τινὰ* **M A P_1 E**, *μοιρὰν τινὰ* **W** ‖ **3836.** *καϑ' ὅτι* **A.**

παραταγή, τότε συνάγειν τὰ εὑρισκόμενα ἅρματα εἰς τὸν τόπον, ἔνϑα ἐγένετο ἡ πρώτη συμβολὴ τοῦ πολέμου, καὶ μετὰ τὸ λυϑῆναι τελείως τὸν πόλεμον ἵνα φέρωσιν αὐτὰ εἰς τοὺς δεκάρχους τοῦ τάγματος αὐτῶν ἤγουν εἰς τοὺς ἱσταμένους ἔμπροσϑεν εἰς τὸ μέτωπον τῆς παραταγῆς καὶ ἵνα λαμβάνωσι καὶ αὐτοὶ ὑπὲρ τούτου παρὰ τῶν δεκάρχων μοῖράν τινα εἰς παραμυϑίαν αὐτῶν. τοῦτο γὰρ κελεύομεν, ἵνα ἔχωσιν οἱ δέκαρχοι, οἳ καὶ πρωτοστάται, εἰς τοὺς πολέμους, ὅταν τραπῶσιν οἱ ἐχϑροί, προνόμιον δίκαιον, καϑότι πλέον τῶν λοιπῶν ἀναγκάζονται εἰς τὴν πρώτην συμβολὴν τοῦ πολέμου. γίνεται δὲ καὶ ἄλλο ἀγαϑὸν ἐκ τούτου·

1469. ἅρματα C ‖ 1472. μοῖραν ita, ut pro μοιρὰν possis legere ‖ 1473. οἳ ego, οἱ C.

καιρόν τινας διὰ τὸ σκυλεῦσαι ἐκ τῶν ἵππων κατέρχεσθαι καὶ τὴν τάξιν διαλύειν. ἵνα δὲ εὔκολοι αἱ ἀναβάσεις ἐπὶ τῶν ἵππων τῶν τε δηποτάτων γίνωνται καὶ τῶν τραυματιζομένων ἤτοι ἐκπιπτόντων, δεῖ τὰς δύο σκάλας τῶν δηποτάτων κατὰ τοῦ ἀριστεροῦ μέρους τῆς σέλλας ποιεῖν, τοῦτ' ἔστι τὴν μίαν πρὸς τῇ κούρβᾳ, ὡς ἔθος ἐστί, καὶ τὴν ἄλλην πρὸς τῇ ὀπισθοκούρβᾳ, ἵνα τῶν δύο ἐπὶ τὸν ἵππον

CONSTITUTIO XII.

ἀγαθὸν δὲ καὶ ἕτερον γίνεται, ἵνα μὴ διὰ τὸ σκυλεῦσαι τοὺς πίπτοντας ἐχθρούς τινες ἐκ τῶν ἵππων κατέρχωνται καὶ τὴν παράταξιν διαλύωσιν.

53. 52. Ἵνα δὲ εὐκόλως ἐπὶ τῶν ἵππων ἀναβαίνωσιν οἵ τε λεγόμενοι δεποτάτοι καὶ οἱ τραυματιζόμενοι στρατιῶται οἱ ἀπὸ τῶν ἵππων πίπτοντες, πρέπον ἐστίν, ἵνα ὁ δεποτάτος τὰς δύο σκάλας εἰς τὸ ἀριστερὸν μέρος τῆς σέλλας ἔχῃ, τοῦτ' ἔστι τὴν μίαν πρὸς τῷ ἐμπροσθοκουρβίῳ καὶ τὴν ἑτέραν πρὸς τῷ ὀπισθοκουρβίῳ, ἵνα,

3838. ἐκδύσαι A P_1 E || 3839. τινὲς codd. || 3839—3840. κατέρχονται W P_1 E || 3840. διαλύουσιν MW, διαλύωσι P_1 E || 3841—3843. Verba Ἵνα ..... πίπτοντες omm. A P_1 E || 3842. δεποτάται MW, δεποτάτοι Meursii codex tert. || 3843. πρέπον δὲ A P_1 E || 3844. δεποτάτος A E, δεποτατος P_1, δεποτάτος Meursii codex tert. || $\overline{β}$ P_1 || 3845. σέλας MWA || τοῦτ' ἔστι M, τοῦτέστιν W, τουτέστιν AE, τουτέστι P_1 || τὸ AE || 3846. Verba καὶ τὴν .... ὀπισθοκουρβίῳ om. P_1 || τὸ A || ἵνα om. A.

οὐκ ἀποκαταβαίνουσί τινες στρατιῶται διὰ τὸ ἐπαρεῖν ἄρματα τῶν πιπτόντων ἐχθρῶν εἰς τὸν πόλεμον καὶ παραλύουσι τὴν παραταγήν.

52. πρὸς δὲ τὸ ἀναβαίνειν εὐκόλως εἰς τὰ παρίππια καὶ τοὺς δεποτάτους καὶ τοὺς λαμβάνοντας εἰς τὸν πόλεμον τραύματα καὶ πίπτοντας ἀπὸ τῶν ἱππαρίων στρατιώτας, ὀφείλουσιν οἱ δεποτάτοι τὰς δύο σκάλας τῆς σέλας εἰς τὸ ἀριστερὸν μέρος ἔχειν, τὴν μὲν μίαν εἰς τὸ ἐμπροσθοκούρβιον, τὴν δὲ ἄλλην εἰς τὸ ὀπισθοκούρβιον, ἵνα, ὅταν μέλλωσιν

1470. -οι τινὲς C || ἄρματα C || 1470. π. τρ.] πόλεμον[1] C || πίπτον C.

βουλομένων ἀνέρχεσθαι, τοῦτ᾽ ἔστιν αὐτοῦ τε καὶ τοῦ ἀπομάχου, ὁ μὲν διὰ τῆς πρὸς τῇ κούρβᾳ σκάλας ἀνέρχηται, ὁ δὲ διὰ τῆς πρὸς τῇ ὀπισθοκούρβᾳ· οἷς καὶ ἀναγκαῖόν ἐστιν ἐν φλασκίοις ὕδωρ ἐπιφέρεσθαι διὰ † τῶν, ὡς εἰκός, † λειποθυμούντων[1] τοὺς τραυματίας.

[1] Legendum cum PV: *διὰ τό, ὡς εἰκός, λειποθυμεῖν.*

CONSTITUTIO XII.

ὅτ᾽ ἂν μέλλωσιν οἱ δύο ἐπὶ τοῦ ἵππου ἀνέρχεσθαι, ὅ τε δεποτάτος καὶ ὁ τραυματιζόμενος στρατιώτης, ὁ μὲν διὰ τῆς σκάλας τῆς ἔμπροσθεν, ὁ δὲ διὰ τῆς ἑτέρας σκάλας ἀνέρχεται. ἀναγκαῖον δέ ἐστι τοὺς λεγομένους δεποτάτους εἰς φλασκία ὕδωρ βαστάζειν διὰ τοὺς πολλάκις λιποθυμοῦντας τραυματίας.

3847. *β̄* **E** || **3847—3848. AP₁E** habent *ὅ τε τραυματιζόμενος στρατιώτης καὶ ὁ διποτάτος*, quod ego rec.-e Const.-a nitens mutavi: **MW** omm. || **3849—3850.** Pro *ἑτέρας σκάλας* **AP₁E** *ὄπισθεν* habent || **3850.** *ἀνέρχηται* **AP₁E** || *εστιν* **W**, *ἐστὶν* **P₁E** || *καὶ τοὺς* **P₁E** || **3851.** *διποτάτους* **AP₁E**, *δεσποτάτους* **Meursii codex tert.** || *καὶ εἰς φλασκία* **MW** || *φλασκεία* **Meursii codex tert.**, *ἀγγεῖα* **AE**, *ἀγγεία* **P₁** || **3852.** *λειποθυμοῦντας* **Meursii codex tert.**, **AE**; cf. vs. **1789. 1790.** || *τραυματίας*] *τῶν τραυματιζομένων στρατιωτῶν* **AP₁E** || §. 54., 55.] Cff. *„Inedita Tactica Leonis“* c. XX. 3.: *Παρ᾽ αὐτόν γε μὴν τὸν τοῦ πολέμου καιρὸν ὡς ἀπὸ μιλίων μάλιστα δύο ἢ καὶ ἑνὸς περιαιρεῖσθαι χρὴ τά τε πλεῖστα ἐν τοῖς τάγμασι βάνδα καὶ πρὸς τούτοις τὰ ἐν τοῖς τῶν στρατιωτῶν δορατίοις βανδία, ἃ δὴ καὶ φλαμουλίσκια λέγεται. ἐμποδὼν γὰρ ταῦτα τοῖς ὄπισθεν ἱσταμένοις πρὸς τὰς τῶν βελῶν ἀφέσεις καθίσταται παρὰ τὸν τοῦ πολέμου καιρόν.*

οἱ δύο καβαλλικεύειν (καὶ ὁ δεποτάτος καὶ ὁ ἔχων τὴν πληγήν), ὁ μὲν εἷς διὰ τῆς ἔμπροσθεν σκάλας, ὁ δὲ ἄλλος διὰ τῆς ὀπίσω καβαλλικεύωσιν. ἀναγκαῖον δ᾽ ἐστίν, ἵνα καὶ οἱ δεποτάτοι βαστάζωσι καὶ εἰς τὰς ἀσκοδαύλας ὕδωρ διὰ τοὺς πολλάκις λειποθυμοῦντας | ἐκ τῶν ἐχόντων πληγάς. fol. 27ᵛ

1482. *καβαλικεύειν*, **83.** *καβαλικεύωσιν* **C**; cf. vs. **222. 234.** || *εἰς* **C** || **1483—1484.** *δεπόιατοι* **C.**

9. *Περὶ φλαμούλων.* Φλάμουλα δὲ ἐν καιρῷ μάχης τὰ κοντάρια ⟨ἔχειν⟩ οὐ συμβουλεύομεν. ὅσον γὰρ εἰς *ἁρμαστατιῶνα καὶ πολιορκίαν ἤτοι ἐπίδειξιν καὶ κόμπον ἀναγκαῖά εἰσι, τοσοῦτον ἐν ταῖς μάχαις ἀχρεῖα. εἴτε γὰρ ῥῖψαι εἴτε λαγκεῦσαι γένηται καιρός, οὐ συγχωρεῖ τὸ φλάμουλον εὐστόχως ⟨εἰς ὀρθὸν⟩ ἢ εἰς μῆκος † ῥίπτεσθαι·[1] εἴτε τοξείας γένηται καιρός, παρεμποδίζει τοῖς ὄπισθεν τοξεύουσιν. εἶτα δὲ καὶ εἰς τὰς ἐξελασίας καὶ ὑποχωρήσεις τε καὶ

[1] Legendum ῥίπτεσθαι ⟨τὸ κοντάριον⟩.

CONSTITUTIO XII.

54. 53. Ἐν δὲ τῷ καιρῷ τῆς μάχης φλάμουλα τὰ κοντάρια μὴ ἐχέτωσαν. ὅσον γάρ εἰσιν εἰς ἐπίδειξιν καὶ κόμπον ἀναγκαῖα τὰ φλάμουλα, τοσοῦτόν εἰσιν ἐν ταῖς μάχαις ἄχρηστα. ἐὰν γάρ τις βούληται εὐκαίρως ῥῖψαι ἢ ἀκοντίσαι ἢ τοξεῦσαι, οὐ συγχωρεῖ τὸ φλάμουλον εὐστόχως εἰς ὀρθὸν ἢ εἰς μῆκος βάλλεσθαι τὸ ῥιπτόμενον. ἐὰν δὲ καὶ τοξείας καιρὸς γένηται, παρεμποδίζει τοῖς ὄπισθεν τοξεύουσιν, ἀλλὰ καὶ εἰς τὰς ἐξελασίας καὶ

3853. *φλαμουλάτα* **M W** || *τὰ* om. **Meursii codex tert.** || **3854.** *εἰσὶν* **P₁ E** || **3855.** Ad *κόμπον* legitur in mge cod.-is **W** *οἷον εἰς κομποφάντειαν* || *φαντασίαν* **A P₁ E** || *τοσοῦτον εἰσὶν* codd. || **3856.** *ἐὰν*] *ἐάν τις* **W**, *ἐάν τε* **Meursii codex tert.** et **A** || *ῥίψαι* codd. || **3857.** *οὐ συγχωρεῖ* = „non permittit“ || **3858.** *βάλλεσθαι*] *ῥίπτεσθαι* **A P₁ E** || **3859.** *γένηται καιρὸς* **P₁ E** || **3860—3861.** Verba *καὶ εἰς τὰς*

53. εἰς δὲ τὸν καιρὸν τοῦ πολέμου φλάμουλα τὰ κοντάρια μὴ ἐχέτωσαν. καὶ ὅσον εἰσὶ κομπόφαντα τὰ φλάμουλα, τοσοῦτόν εἰσιν ἄχρηστα εἰς τὸν πόλεμον· ἂν γὰρ ἐπιχειρήσῃ τις ἢ μετὰ ῥιπταρίου ῥῖψαι ἢ τοξεῦσαι, οὐ συγχωρεῖ τὸ φλάμουλον, ἵνα ὑπάγῃ ἐξ ὀρθοῦ ἢ εἰς μάκρος καὶ ἐπιτύχῃ τὸ ῥιπτόμενον. ἂν δὲ γένηται καιρὸς τοξείας, παρεμποδίζει τὸ φλάμουλον τοὺς ὄπισθεν τοξεύοντας· ἀλλὰ καὶ εἰς τὰς ἐξελασίας καὶ εἰς τὸ ἐπιστρέψαι

1487. *κομπόφαντα*] lexicis addendum || *-τον εἰσὶ* C || 1488. *ῥίψαι* C || 1489. *μάκρον* C.

ἀντιστροφὰς ἐμποδισμὸν οὐκ ὀλίγον ποιοῦσι καὶ διὰ τοῦτο ἐν ταῖς μάχαις χρηματίζειν ταῦτα οὐ δέον. δυνατὸν δέ ἐστι, ἵνα καὶ ὁ κόμπος μήκοθεν φυλάττεται τῆς παρατάξεως καὶ τὸ χρήσιμον, ὥστε ταῦτα μὲν βάλλειν,[1] μέχρις οὗ οἱ ἐχθροὶ ἀπὸ μιλίου ἑνὸς φθάσωσι, τότε δὲ συστέλλειν αὐτὰ καὶ ἐν τοῖς θηκαρίοις αὐτῶν ἀποτίθεσθαι.

10. *Περὶ κατασκόπων ἤτοι σκουλκατώρων.* Πρὸς τούτοις δεῖ εἶναι ἐπὶ μὲν τοῖς ὀπτιμάτοις καὶ φοιδεράτοις καθ᾽ ἕκαστον

[1] Cf. Latinorum „mappam *mittere*".

CONSTITUTIO XII.

εἰς τὰς ἐπιστροφὰς καὶ εἰς τὰς ἀντιστροφὰς οὐκ ὀλίγον ἐμποδισμὸν ποιοῦσι καὶ διὰ τοῦτο ἐν ταῖς μάχαις [p. 151. M.] ταῦτα χρηματίζειν οὐ πρέπει.

54. Ἀλλὰ διὰ μὲν τὸν κόμπον τῆς παρατάξεως, ὥστε 55. φαίνεσθαι μήκοθεν, ἔχειν μὲν τὰ φλάμουλα εἰς τὰ κοντάρια, ἕως ἂν οἱ ἐχθροὶ φθάσωσιν ἀπὸ μιλίου ἑνός, ἀπὸ τότε δὲ ἵνα συστέλλωσιν αὐτὰ καὶ ἐν τοῖς θηκαρίοις αὐτῶν ἀποτιθοῦσιν.

55. Πρὸς τούτοις κελεύομέν σοι, ἵνα ἀπὸ τῶν ἰσχυ- 56. ρῶν καὶ δυνατῶν ταγμάτων καθ᾽ ἕκαστον τάγμα, ἀπὸ

ἐπιστροφὰς omm. P_1 **E** || **3861.** *οὐκολίγον* **M W** || **3862.** *ποιοῦσιν* **A** || **3864.** *τὸν κόμπον*] *τὴν φαντασίαν* **A** P_1 **E** || **3864—3865.** Verba *ὥστε φαίνεσθαι μήκοθεν* omm. **A** P_1 **E** || **3867.** *ἀπὸ τότε*] cf. *Psaltes* 335; *Rec. Const. „Praec. Niceph."* fol. 120ᵛ; sed fol. 127ʳ *ἀποτότε* || **3868.** *ἀποτιθοῦσιν*] cf. *Psaltes* 236; *ἀποτιθῶσιν* **Meursii codex tert.** et P_1**E**, *ἀποτίθενται* **A** || **3870.** *καθἕκαστον* **M**, *καθεκαστον* **W**.

εἰς πλάγιον δεξιᾷ ἢ ἀριστερᾷ καὶ ὡς ἔτι φεύγουσιν εἰς τὸ ἀντιστραφῆναι ἐξοπίσω ἐμποδίζουσι τὰ φλάμουλα. διὰ τοῦτο οὐ πρέπει ἔχειν αὐτὰ εἰς τοὺς πολέμους.

54. *ἀλλὰ διὰ τὸ φαίνεσθαι ἀπὸ μακρόθεν κομπόφανον τὴν παραταγὴν ἵνα ὦσι τὰ φλάμουλα εἰς τὰ κοντάρια, ἕως οὗ φανῶσιν οἱ ἐχθροὶ ἀπὸ μιλίου ἑνός. ἀπὸ τότε γοῦν ἵνα συστέλλωσιν αὐτὰ καὶ εἰσάγωσιν εἰς τὰς θήκας.*

55. *ἵνα δὲ ἀφορίσῃς ἀπὸ μὲν τῶν ἰσχυρῶν καὶ δυνατῶν ταγμάτων κατὰ τάγμα ἄνδρας*

1491. *δεξιὰ . . . . ἀριστερὰ* C.

τάγμα, ἐπὶ δὲ τοῖς ἄλλοις, τοῖς ὑποδεεστέροις, καθ' ἕκαστον μέρος κατασκόπους ἤγουν σκουλκάτωρας, δύο μὲν κατὰ τάγμα, ὀκτὼ δὲ ἢ δώδεκα κατὰ μέρος, νηφαλίους, ἀγρύπνους, γοργούς τε καὶ εὐειδεῖς, οἵτινες καὶ πρὸ τοῦ πολέμου ἐν τοῖς ἀπαντῶσι[1] καὶ ἐν αὐτοῖς δὲ τοῖς ἰδίοις μέρεσι,[2] καθ' οὓς ἂν τάσσωνται τόπους, ἐκ διαστημάτων σκουλκεύειν ὤφειλον μέχρι τῆς τελείας τοῦ πολέμου ἐκβάσεως, ἵνα μὴ ἔφοδος ἐξ ἐνέδρας ἢ δόλος αὐτοῖς ὑπὸ ἐχθρῶν γίνεται.

11. *Περὶ μηνσώρων καὶ ἀντικενσώρων.* Πρὸς τούτοις δεῖ καὶ τοὺς *μήνσωρας τοσούτους εἶναι, τοὺς ὀφείλοντας μετὰ

[1] „in diversis hostilibusque" reddit *Scheffer.* — [2] *Redde:* „inter hostilia et inter propria mera".

CONSTITUTIO XII.

δὲ τῶν ἄλλων ὑποδεεστέρων καθ' ἑκάστην τοῦρμαν, σκουλκάτωρας ἤγουν βιγλεύοντας ἀφορίσῃς, δύο μὲν κατὰ τάγμα, ὀκτὼ δὲ ἢ δώδεκα κατὰ τοῦρμαν, ἀγρύπνους καὶ διεγηγερμένους καὶ γοργούς, οἵτινες καὶ πρὸ τοῦ πολέμου καὶ ἐν αὐτῷ τῷ πολέμῳ, ἐν τοῖς ἰδίοις αὐτῶν μέρεσιν εἰς οὓς καὶ τάσσονται τόπους ἀπὸ διαστημάτων σκουλκεύειν ὀφείλουσιν ἕως τῆς τελείας τοῦ πολέμου ἐκβάσεως, ἵνα μὴ ἀπὸ ἐγκρύμματος ἐπιδρομὴ ἢ δόλος αὐτοῖς ὑπὸ τῶν ἐχθρῶν γενήσεται.

57. 56. Καὶ τοὺς μινσουράτωρας δὲ τοσούτους εἶναι, τοὺς

3871. καθ' ἑκάστην M, καθεκάστην P₁, καθεκαστην W || τούρμαν codd., item infra || 3872. σκουλκάτορας M W || βιγλάτορας A P₁ E || 3873. ὀκτὼ] ὀκτω W, η P₁ E || ιβ P₁ E || 3876. εἰς οὓς omm. P₁ E || 3878. τοῦ πολέμου ἐκβάσεως] συμπληρώσεως τοῦ πολέμου A P₁ E || 3878–3879. ἢ δόλος ἢ ἐπιδρομὴ A P₁ E || 3879. αὐτοῖς] τοῖς P₁, τῶν E || γένηται A P₁ E || 3880. μινσουράτορας M W, μινσουράτωρας A P₁ E.

δέκα, ἀπὸ δὲ τῶν ἄλλων, τῶν ὑποδεεστέρων, κατὰ τοῦρμαν ἄνδρας ὀκτὼ ἢ δώδεκα, πλὴν ἀγρύπνους καὶ διεγηγερμένους καὶ γοργούς, οἵτινες καὶ πρὸ τοῦ πολέμου καὶ εἰς αὐτὸν τὸν πόλεμον ἵνα ἐκβαίνωσιν ἀπὸ τοῦ κατατοπίου αὐτῶν τόπον τινὰ καὶ βιγλίζωσιν ἕως τῆς τελειώσεως τοῦ πολέμου πρὸς τὸ μὴ γενέσθαι ἀπὸ ἐγκρύμματος ἐπιδρομὴν ἢ δόλον ἀπὸ τῶν ἐχθρῶν εἰς τὰς παραταγὰς ἡμῶν.

56. ὅσοι δέ εἰσιν οἱ βιγλάτορες, τοσοῦτοι ὀφείλουσιν εἶναι καὶ οἱ μινσουράτορες. καὶ

τῶν ἀντικενσώρων προλαμβάνειν καὶ τὰ ἄπληκτα μετρεῖν. πρὸς τούτοις δεῖ ἀφορίζειν καὶ ἀντικένσωρας ἤτοι πραιπάτωρας[1] τοσούτους, τοὺς ὀφείλοντας προλαμβάνειν καὶ τὰς ὁδοὺς προγινώσκειν καὶ ἐπὶ τὰ ἄπληκτα ὁδηγεῖν τὸν στρατόν.

12. *Περὶ διαστημάτων μερῶν τε καὶ παρατάξεων.* Τῆς δὲ τοιαύτης τάξεως γενομένης ...... δεῖ μὲν τῆς πρώτης τάξεως μέρη πλησίον ἀλλήλων περιπατεῖν, ὥστε μὴ εἶναι πολὺ διάστημα ἤτοι διάλειμμα τὸ μεταξὺ αὐτῶν ἀπὸ μέρους εἰς μέρος, ἀλλ' ὅσον μὴ συντρίβεσθαι ἐν τῷ περιπατεῖν καὶ διακεκριμένα φαίνεσθαι. τοὺς

[1] Cf. Byz. Z. XIX. (1910) p. 553.

CONSTITUTIO XII.

ὀφείλοντας προλαμβάνειν καὶ τὰ ἄπλικτα μετρεῖν καὶ τὰς ὁδοὺς προγινώσκειν καὶ πρὸς τὰ ἄπλικτα τὸν στρατὸν ὁδηγεῖν. καὶ περὶ μὲν τούτων τοσαῦτα εἰρήσθω.

57. Χρὴ δὲ τὴν σὴν ἐνδοξότητα τὰ μὲν τῆς πρώτης 58.
παρατάξεως μέρη παρασκευάζειν, ὥστε πλησίον ἀλλήλων περιπατεῖν καὶ μὴ ἀπὸ πολλοῦ διαστήματος ἤτοι διαλείμματος τὸ μεταξὺ αὐτῶν ἀπὸ μέρους εἰς μέρος, ἀλλὰ ὅσον μὴ συντρίβεσθαι ἐν τῷ περιπατεῖν, μηδὲ διακεκριμένα ἀπ' ἀλλήλων φαίνεσθαι.

3881. *ἄπλικτα* **MW**, *ἀπλῆκτα* **A**, *ἀπλῆκτα* **P₁E**; item infra || **3882—3883.** *στρατηγὸν* **AP₁E** || **3886.** *καὶ* omm. **MWP₁** || **3886—3887.** *διαλείμματος*| **AP₁E** *διαχώρισμα* inserunt post *αὐτῶν* et *μὴ ἔστω πολύ* addunt post *μέρος* || **3888.** *ἀλλ'* **AP₁E** || *μὴ δε* **W**, *μὴ δὲ* **P₁** || **3889.** *διακεχωρισμένα* **AP₁E**.

